**CORPUS ΚΕΙΜΕΝΩΝ Ε΄ ΕΞΑΜΗΝΟΥ 2020-21**

**ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ (4$^{ος}$ *αι.*)**

**1. *Κατὰ γυναικῶν καλλωπιζομένων***

Μὴ κεφαλὰς πυργοῦτε νόθοις πλοκάμοισι, γυναῖκες,
Θρύπτουσαι μαλακοὺς αὐχένας ἐκ σκοπέλων,
Μηδὲ Θεοῦ μορφὰς ἐπαλείφετε χρώμασιν αἰσχροῖς,
Ὥστε προσωπεῖον, κοὐχὶ πρόσωπα, φέρειν.
Οὐδὲ γὰρ ἀσκεπέα κεφαλὴν θέμις ἀνδρὶ γυναῖκα
Φαίνειν, ἢ χρυσῷ σφιγγομένων πλοκάμων,
Ἠὲ κόμης ἀδέτοιο κατωμαδὸν ἔνθα καὶ ἔνθα
Σκιρτώσης ἀπαλῶν μαινάδος ἐξ ἀνέμων.
Οὐδὲ λόφον καθύπερθε φέρειν κορύθεσσιν ὁμοῖον,
Τηλεφανῆ σκοπίην ἀνδράσι λαμπομένην,
Ἠὲ λίνου μαλακοῖο διαυγάζουσαν ἔθειραν
Κρυπτὴν, ἀμφαδίην, τήνδε μετωπιδίην,
Ξανθὸν ἀπαστράπτουσαν, ὅση κρήδεμνον ἄλυξεν,
Ὡς δοκέειν παλάμης ἔργα πονησαμένης·
Εὖτε τὸν οὐχ ὁρόωντα διδάσκαλον, ἄπνοον εἰκὼ
Μορφῆς στασαμένη, κάλλος ἐκεῖθε γράφεις.
Κάλλος δ᾽ εἰ μὲν ἔδωκε φύσις, μὴ κρύπτετ᾽ ἀλοιφῇ,
Ἀλλ᾽ οἵοις καθαρὸν ἀνδράσιν ὑμετέροις
Σώζετε, κἀλλοτρίῳ μηδ᾽ ὄμματα λίχνα φέρουσαι·
Ὄμμασι γὰρ κραδίη ἕσπεται οὐχ ὁσίοις·
Εἰ δ᾽ οὐ γεινομένῃσι συνέσπετο, δεύτερον αἶσχος
Φεύγετε, ἐκ χειρῶν κάλλος ἐφελκόμεναι·
Κάλλος, ὃ γαῖα φέρει, καὶ ὤνιόν ἐστι γυναιξὶ
Πανδήμοις, ὀβολῶν περνομέναις ὀλίγων
Κάλλος, ὃ ῥυπτόμενον χαμάδις ῥέει· οὐδὲ γέλωτι
Ἵστατ᾽, ἐπὴν λύσῃ χάρμα παρειὰν ὅλην,
Καὶ δακρύων ὀχετοῖσιν ἐλέγχεται, ἰκμαλέῳ τε
Δείματι, καὶ ψεκάδος λύεται ἐξ ὀλίγης.
(PG 37, 884-908)

**ΠΑΛΛΑΔΑ (5$^{ος}$ *αι.*)**

**2.** "Μῆνιν οὐλομένην" γαμετὴν ὁ τάλας γεγάμηκα
καὶ παρὰ τῆς τέχνης μήνιδος ἀρξάμενος.
ὤ μοι ἐγὼ πολύμηνις, ἔχων τριχόλωτον ἀνάγκην,
τέχνης γραμματικῆς καὶ γαμετῆς μαχίμης.

**3.** Ἀρχὴ γραμματικῆς πεντάστιχός ἐστι κατάρα·
πρῶτος "μῆνιν" ἔχει, δεύτερος "οὐλομένην",
καὶ μετὰ δ᾽ "οὐλομένην" Δαναῶν πάλιν "ἄλγεα" πολλά·

ὁ τρίτατος "ψυχὰς εἰς Ἀίδην" κατάγει·
τοῦ δὲ τεταρταίου τὰ "ἑλώρια" καὶ "κύνες" ἀργοί,
πέμπτου δ᾽ "οἰωνοὶ" καὶ "χόλος" ἐστὶ "Διός".
πῶς οὖν γραμματικὸς δύναται μετὰ πέντε κατάρας
καὶ πέντε πτώσεις μὴ μέγα πένθος ἔχειν;

Ἔξω παιδεύεις Πάριδος κακὰ καὶ Μενελάου,
ἔνδον ἔχων πολλοὺς σῆς Ἑλένης Πάριδας.
**(Λουκιλλίου, Εἰς Γραμματικὸν κερασφόρον, AP 11.278)**

**4.** Οὐ δύναμαι γαμετῆς καὶ γραμματικῆς ἀνέχεσθαι,
γραμματικῆς ἀπόρου καὶ γαμετῆς ἀδίκου.
ἀμφοτέρων τὰ πάθη θάνατος καὶ μοῖρα τέτυκται.
τὴν οὖν γραμματικὴν νῦν μόλις ἐξέφυγον,
οὐ δύναμαι δ᾽ ἀλόχου τῆς ἀνδρομάχης ἀναχωρεῖν·
εἴργει γὰρ χάρτης καὶ νόμος Αὐσόνιος.

**5.** Πᾶσα γυνὴ χόλος ἐστίν ἔχει δ′ ἀγαθὰς δύο ὥρας,
τὴν μίαν ἐν θαλάμῳ, τὴν μίαν ἐν θανάτῳ.

**6.** Χρυσέ, πάτερ κολάκων, ὀδύνης καὶ φροντίδος υἱέ,
καὶ τὸ ἔχειν σε φόβος, καὶ μὴ ἔχειν σ' ὀδύνη.

**7.** Πάντες τῷ θανάτῳ τηρούμεθα καὶ τρεφόμεσθα
ὡς ἀγέλη χοίρων σφαζομένων ἀλόγως.

**8.** Εἰ μοναχοί, τί τοσοίδε; τοσοίδε δέ, πῶς πάλι μοῦνοι;
ὦ πληθὺς μοναχῶν ψευσαμένη μονάδα.

**9.** Σκηνὴ πᾶς ὁ βίος καὶ παίγνιον· ἢ μάθε παίζειν
τὴν σπουδὴν μεταθεὶς ἢ φέρε τὰς ὀδύνας.

**10.** Εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου· εἰ δ′ ἀγανακτεῖς,
καὶ σαυτὸν λυπεῖς καὶ τὸ φέρον σε φέρει.

**11.** Πλοῦς σφαλερὸς τὸ ζῆν· χειμαζόμενοι γὰρ ἐν αὐτῷ
πολλάκι ναυηγῶν πταίομεν οἰκτρότερα.
τὴν δὲ Τύχην βιότοιο κυβερνήτειραν ἔχοντες,
ὡς ἐπὶ τοῦ πελάγους, ἀμφίβολοι πλέομεν,
οἱ μὲν ἐπ' εὐπλοΐην, οἱ δ' ἔμπαλιν· ἀλλ' ἅμα πάντες
εἰς ἕνα τὸν κατὰ γῆς ὅρμον ἀπερχόμεθα.

## <u>CORPUS ΚΕΙΜΕΝΩΝ Ε΄ ΕΞΑΜΗΝΟΥ 2020-21</u>

### <u>ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ (4ος *αι.*)</u>

**1.** ***<u>Κατὰ γυναικῶν καλλωπιζομένων</u>***

Μὴ κεφαλὰς πυργοῦτε νόθοις πλοκάμοισι, γυναῖκες,
Θρύπτουσαι μαλακοὺς αὐχένας ἐκ σκοπέλων,
Μηδὲ Θεοῦ μορφὰς ἐπαλείφετε χρώμασιν αἰσχροῖς,
Ὥστε προσωπεῖον, κοὐχὶ πρόσωπα, φέρειν.
Οὐδὲ γὰρ ἀσκεπέα κεφαλὴν θέμις ἀνδρὶ γυναῖκα
Φαίνειν, ἢ χρυσῷ σφιγγομένων πλοκάμων,
Ἠὲ κόμης ἀδέτοιο κατωμαδὸν ἔνθα καὶ ἔνθα
Σκιρτώσης ἁπαλῶν μαινάδος ἐξ ἀνέμων.
Οὐδὲ λόφον καθύπερθε φέρειν κορύθεσσιν ὁμοῖον,
Τηλεφανῆ σκοπίην ἀνδράσι λαμπομένην,
Ἠὲ λίνου μαλακοῖο διαυγάζουσαν ἔθειραν
Κρυπτὴν, ἀμφαδίην, τήνδε μετωπιδίην,
Ξανθὸν ἀπαστράπτουσαν, ὅση κρήδεμνον ἄλυξεν,
Ὡς δοκέειν παλάμης ἔργα πονησαμένης·
Εὖτε τὸν οὐχ ὁρόωντα διδάσκαλον, ἄπνοον εἰκὼ
Μορφῆς στασαμένη, κάλλος ἐκεῖθε γράφεις.
Κάλλος δ΄ εἰ μὲν ἔδωκε φύσις, μὴ κρύπτετ΄ ἀλοιφῇ,
Ἀλλ΄ οἵοις καθαρὸν ἀνδράσιν ὑμετέροις
Σώζετε, κἀλλοτρίῳ μηδ΄ ὄμματα λίχνα φέρουσαι·
Ὄμμασι γὰρ κραδίη ἕσπεται οὐχ ὁσίοις·
Εἰ δ΄ οὐ γεινομένῃσι συνέσπετο, δεύτερον αἶσχος
Φεύγετε, ἐκ χειρῶν κάλλος ἐφελκόμεναι·
Κάλλος, ὃ γαῖα φέρει, καὶ ὤνιόν ἐστι γυναιξὶ
Πανδήμοις, ὀβολῶν περνομέναις ὀλίγων
Κάλλος, ὃ ῥυπτόμενον χαμάδις ῥέει· οὐδὲ γέλωτι
Ἵστατ΄, ἐπὴν λύσῃ χάρμα παρειὰν ὅλην,
Καὶ δακρύων ὀχετοῖσιν ἐλέγχεται, ἰκμαλέῳ τε
Δείματι, καὶ ψεκάδος λύεται ἐξ ὀλίγης.
(PG 37, 884-908)

### <u>ΠΑΛΛΑΔΑ (5ος *αι.*)</u>

**2.** "Μῆνιν οὐλομένην" γαμετὴν ὁ τάλας γεγάμηκα
καὶ παρὰ τῆς τέχνης μήνιδος ἀρξάμενος.
ὤ μοι ἐγὼ πολύμηνις, ἔχων τριχόλωτον ἀνάγκην,
τέχνης γραμματικῆς καὶ γαμετῆς μαχίμης.

**3.** Ἀρχὴ γραμματικῆς πεντάστιχός ἐστι κατάρα·
πρῶτος "μῆνιν" ἔχει, δεύτερος "οὐλομένην",
**12.** καὶ μετὰ δ᾽ "οὐλομένην" Δαναῶν πάλιν "ἄλγεα" πολλά·

Παίγνιόν ἐστι Τύχης μερόπων βίος, οἰκτρός, ἀλήτης,
πλούτου καὶ πενίης μεσσόθι ῥεμβόμενος.
καὶ τοὺς μὲν κατάγουσα πάλιν σφαιρηδὸν
ἀείρει, τοὺς δ' ἀπὸ τῶν νεφελῶν εἰς Ἀίδην κατάγει.

**13.** Γῆς ἐπέβην γυμνός, θ' ὑπὸ γαῖαν ἄπειμι˙
καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος;

**14.** Ἆρα, μὴ θανόντες τῷ δοκεῖν ζῶμεν μόνον,
Ἕλληνες ἄνδρες, συμφορᾷ πεπτωκότες,
ὄνειρον εἰκάζοντες εἶναι τον βίον;
Ἢ ζῶμεν ἡμεῖς, τοῦ βίου τεθνηκότος;

**15.** Ἂν μνήμην, ἄνθρωπε, λάβης, ὁ πατὴρ σε τί ποιῶν
ἔσπειρεν, παύσῃ τῆς μεγαλοφροσύνης.
Ἀλλ' ὁ Πλάτων σοὶ τῦφον ὀνειρώσων ἐνεφύσησεν,
ἀθάνατόν σε λέγων καὶ φυτὸν οὐράνιον.
Ἐκ πηλοῦ γέγονας˙ τί φρονεῖς μέγα; Τοῦτο μὲν οὕτως
εἶπ' ἄν τις, κοσμῶν πλάσματι σεμνοτέρῳ.
Εἰ δὲ λόγον ζητεῖς τὸν ἀληθινόν, ἐξ ἀκολάστου
λαγνείας γέγονας καὶ μιαρᾶς ῥανίδος.

**16.** Τὴν Κίρκην οὔ φημι, καθὼς εἴρηκεν Ὅμηρος
ἀντ' ἀνδρῶν ποιεῖν ἢ σύας ἠὲ λύκους
τοὺς αὐτῇ προσιόντας˙ ἑταίρα δ' οὖσα πανοῦργος,
τοὺς δελεασθέντας πτωχοτάτους ἐποίει˙
τῶν δ' ἀνθρωπείων ἀποσυλήσασα λογισμῶν,
εἶτ' ἀπὸ τῶν ἰδίων μηδὲν ἔχοντας ἔτι
ἔτρεφεν ἔνδον ἔχουσα δίκην ζῴων ἀλογίστων.
Ἔμφρων δ' ὢν Ὀδυσεύς, τὴν νεότητα φυγών,
Οὐχ Ἑρμοῦ, φύσεως δ' ἰδίας ἐμφύντα, λογισμόν
εἶχε γοητείας φάρμακον ἀντίπαλον.

**17.** Ὅταν βλέπω σε, προσκυνῶ, καὶ τοὺς λόγους,
τῆς παρθένου τὸν οἶκον ἀστρῷον βλέπων
εἰς οὐρανὸν γάρ ἐστί σου τὰ πράγματα,
Ὑπατία σεμνή, τῶν λόγων εὐμορφία,
ἄχραντον ἄστρον τῆς σοφῆς παιδεύσεως.

**18.** Οὐ ποιεῖ θάνατον μόνον ἡ φθίσις, ἀλλὰ τὸν αὐτὸν
καὶ πολλὴ παχύτης πολλάκις εἰργάσατο.
Τοῦδ' ὁ τυραννήσας Διονύσιος Ἡρακλείας
τῆς ἐν τῷ Πόντῳ μάρτυς, ὁ τοῦτο παθών.

**19.** Γαστέρα μισήσειε θεὸς καὶ βρώματα γαστρός /
εἵνεκα γὰρ τούτων σωφροσύνα λύεται.

<u>«Σιμωνίδης» για τον Τιμοκρέοντα τον Ρόδιο</u>
πολλὰ πιὼν καὶ πολλὰ φαγὼν καὶ πολλὰ κάκ' εἰπὼν
ἀνθρώπους κεῖμαι Τιμοκρέων Ῥόδιος.

**20.** Κουρεὺς καὶ ραφιδεὺς κατεναντίων ἦλθον ἀγῶνος,
καὶ τάχα νικῶσιν τὸ ξηρὸν αἱ ραφίδες.

**<u>ΝΟΝΟΥ ΠΑΝΟΠΟΛΙΤΗ (5ος αι.)</u>**

**21.** **<u>Απόσμασμα από το επεισόδιο της Αύρας: η Αύρα γκρεμίζει το άγαλμα της Αφροδίτης</u>**

καὶ νόον αἰθύσσουσα, κατάσχετος ἅλματι λύσσης,
Κύπριδος εἰς δόμον ἦλθεν· ἀπειλητῆρα δὲ κεστοῦ
λυσαμένη ζωστῆρα νεοκλώστοιο χιτῶνος
ἁβρὸν ἀνικήτοιο δέμας μάστιζε θεαίνης·
καὶ βρέτας ἁρπάξασα τελεσσιγάμου Κυθερείης
Σαγγαρίου σχεδὸν ἦλθε, κυλινδομένην δὲ ῥεέθροις
γυμναῖς Νηιάδεσσι πόρεν γυμνὴν Ἀφροδίτην.
καὶ μετὰ θεῖον ἄγαλμα καὶ αὐτοέλικτον ἱμάσθλην
δείκελον ἁβρὸν Ἔρωτος ἀπηκόντιζε κονίῃ·
καὶ κενεὸν λίπε δῶμα Κυβηλίδος Ἀφρογενείης.
(Διονυσιακά 48.689-698)

**22.** **<u>Παράφρασις του κατά Ιωάννη ευαγγελίου</u>**

εἶπε καὶ ἐσμαράγησε διαπρυσίῃ τινὶ φωνῇ
«ἔξιθι, Λάζαρε, δεῦρο». λιποφθόγγοιο δὲ νεκροῦ
ἄπνοον ἐψύχωσε δέμας νεκυοσσόος ἠχώ
ἄπνοον ἄνδρα κάλεσσε, καὶ ἔτρεχε νεκρὸς ὁδίτης
στείχων αὐτοκέλευθος ὁμοπλέκτῳ χθόνα ταρσῷ
ἄπνοον ἄνδρα κάλεσσε, καὶ ἐν φθιμένοισιν ἀκούσας
ἐξ Ἀΐδος νόστησε φυγὰς νέκυς ὄψιμον ἄλλην
ἀθρήσας μετὰ τέρμα βίου παλινάγρετον ἀρχήν
θαμβαλέην. Ἀίδης δὲ μάτην παρὰ γείτονι Λήθῃ
πανδαμάτωρ ἀδάμαστον ἐδίζετο νεκρὸν ἀλήτην
καὶ ποδὸς ὀρθωθέντος ἀκαμπέα γούνατα σύρων,
τυφλὴν ἰθυκέλευθον ἔχων ἀντώπιον ὁρμήν
αὐδήεις νέκυς ἔσκε καὶ ἐκ ποδὸς ἄχρι καρήνου
σφιγγόμενον πλεκτῇσιν ὅλον δέμας εἶχε κερείαις
θερμὸν ἔχων ἱδρῶτα καλυπτομένοιο προσώπου

καὶ λινέῳ πεπύκαστο καλύμματι κυκλάδα κόρσην,
σουδάριον τόπερ εἶπε Σύρων στόμα θαμβαλέῳ δέ
ἱσταμένῳ νεφεληδὸν ἄναξ ἐπετέλλετο λαῷ
«λύσατέ μοι καὶ κοῦφον ἐάσατε νεκρὸν ὁδεύειν».
ὣς φαμένου βασιλῆος ὁμόζυγες αὐτίκα λαοί
καὶ μιγάδες ῥήξαντο παλίλλυτα δεσμὰ κερείης
καὶ μελέων βαρύδεσμον ἐγυμνώσαντο καλύπτρην
καὶ νέκυς εἰς δόμον ἦλθε τὸ δεύτερον ἠθάδι ταρσῷ
φέγγος ἰδὼν πεμπταῖον. Ἰουδαίων δ' ἄρα πολλοί
Μάρθης καὶ Μαρίης ἐπὶ πένθιμον οἶκον ἰόντες
παιδὶ Θεοῦ πίστευον ἐσαθρήσαντες ὀπωπαῖς,
κοίρανος ἔργον ἄπιστον ὅπερ κάμε, νεκρὸν ἐγείρας
Λάζαρον ἀχλυόεντος ἀναθρώσκοντα βερέθρου
νόστιμον ἐκ νεκύων ταχινῷ ποδί.

## ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ (6ος αι.)

**23.** ***Εἰς Περίκλειαν, τὴν ἰδίαν μητέρα, κειμένην ἐν Βυζαντίῳ***

— Ὦ ξένε, τί κλαίεις; — Διὰ σὸν μόρον. — Οἶσθα, τίς εἰμι;
—Οὐ μὰ τόν, ἀλλ᾽ ἔμπης οἰκτρὸν ὁρῶ τὸ τέλος. ἐσσὶ δὲ τίς;
— Περίκλεια. — Γυνὴ τίνος; — Ἀνδρὸς ἀρίστου,
ῥήτορος, ἐξ Ἀσίης, οὔνομα Μεμνονίου.
— Πῶς δέ σε Βοσπορίη κατέχει κόνις; —Εἴρεο Μοῖραν,
ἥ μοι τῆλε πάτρης ξεῖνον ἔδωκε τάφον.
— Παῖδα λίπες; — Τριέτηρον, ὃς ἐν μεγάροισιν ἀλύων
ἐκδέχεται μαζῶν ἡμετέρων σταγόνα.
— Αἴθε καλῶς ζώοι. —Ναί, ναί, φίλος, εὔχεο κείνῳ,
ὄφρα μοι ἡβήσας δάκρυ φίλον σταλάοι.

**Anthologia Palatina, 7.163 (Λεωνίδου)**

– Τίς τίνος εὖσα, γύναι, Παρίην ὑπὸ κίονα κεῖσαι;
– Πρηξὼ Καλλιτέλευς. – Καὶ ποδαπή; – Σαμίη.
– Τίς δέ σε καὶ κτερέιξε; – Θεόκριτος, ᾧ με γονῆες
ἐξέδοσαν. – Θνῄσκεις δ' ἐκ τίνος; – Ἐκ τοκετοῦ.
– Εὖσα πόσων ἐτέων; – Δύο κεἴκοσιν. – Ἦ ῥά γ' ἄτεκνος;
– Οὔκ, ἀλλὰ τριετῆ Καλλιτέλην ἔλιπον.
– Ζώοι σοι κεῖνός γε καὶ ἐς βαθὺ γῆρας ἵκοιτο.
– Καὶ σοί, ξεῖνε, πόροι πάντα Τύχη τὰ καλά.

**AP 7.164 Αντιπάτρου Σιδωνίου**

Φράζε, γύναι, γενεήν, ὄνομα, χθόνα. – Καλλιτέλης μὲν
ὁ σπείρας, Πρηξὼ δ' οὔνομα, γῆ δὲ Σάμος.
– Σᾶμα δὲ τίς τόδ' ἔχωσε; – Θεόκριτος, ὁ πρὶν ἄθικτα
ἁμετέρας λύσας ἅμματα παρθενίης.
– Πῶς δὲ θάνες; – Λοχίοισιν ἐν ἄλγεσιν. – Εἰπὲ δέ, ποίην

ἦλθες ἐς ἡλικίην. – Δισσάκις ἑνδεκέτις.
– Ἦ καὶ ἄπαις; – Οὔ, ξεῖνε· λέλοιπα γὰρ ἐν νεότητι
Καλλιτέλη, τριετῆ παῖδ' ἔτι νηπίαχον.
– Ἔλθοι ἐς ὀλβίστην πολιὴν τρίχα. – Καὶ σόν, ὁδῖτα,
οὔριον ἰθύνοι πάντα Τύχη βίοτον.᾽

**<u>AP 7.165 Αντιπάτρου Σιδωνίου ή Αρχίου</u>**
– Εἰπέ, γύναι, τίς ἔφυς. – Πρηξώ. – Τίνος ἔπλεο πατρός;
– Καλλιτέλευς. – Πάτρας δ' ἐκ τίνος ἐσσί; – Σάμου.
– Μνᾶμα δέ σου τίς ἔτευξε; – Θεόκριτος, ὅς με σύνευνον
ἦγετο. – Πῶς δ' ἐδάμης; – Ἄλγεσιν ἐν λοχίοις.
– Εἰν ἔτεσιν τίσιν εὖσα; – Δὶς ἕνδεκα. – Παῖδα δὲ λείπεις;
– Νηπίαχον τρισσῶν Καλλιτέλην ἐτέων.
– Ζωῆς τέρμαθ' ἵκοιτο μετ' ἀνδράσι. – Καὶ σέο δοίη
παντὶ Τύχη βιότῳ τερπνόν, ὁδῖτα, τέλος.

**<u>AP 7. 307 Παύλου Σιλεντιαρίου</u>**
– Οὔνομά μοι… – Τι δὲ τοῦτο; – Πατρίς δε μοι… – Ἐς τί δὲ τοῦτο;
– κλεινοῦ δ᾽ εἰμὶ γένους. – εἰ γὰρ ἀφαυροτάτου;
– ζήσας ἐνδόξως ἔλιπον βίον. – εἰ γὰρ ἀδόξως;
– κεῖμαι δ᾽ ἐνθάδε νῦν…– τις τίνι ταῦτα λέγεις;

**<u>AP 7.524 Καλλιμάχου</u>**
–Ἦ ῥ' ὑπὸ σοὶ Φαρίδας ἀναπαύεται;– Εἰ τὸν Ἀρίμμα
τοῦ Κυρηναίου παῖδα λέγεις, ὑπ' ἐμοί.᾽
–Ὦ Φαρίδα, τί τὰ νέρθε; – Πολὺς σκότος.– Αἱ δ' ἄνοδοι τί;
–Ψεῦδος. – Ὁ δὲ Πλούτων; – Μῦθος. – Ἀπωλόμεθα.
–Οὗτος ἐμὸς λόγος ὔμμιν ἀληθινός· εἰ δὲ τὸν ἡδὺν
βούλει, Πελλαίου βοῦς μέγας εἰν Ἀίδη.

**<u>AP 7.557 Κύρου Πανοπολίτου</u>**
Τρεῖς ἐτέων δεκάδες Μαίης χρόνος, ἐς τρία δ᾽ ἄλλα
ἔτρεχεν· ἀλλ᾽ Ἀίδης πικρὸν ἔπεμψε βέλος,
θηλυτέρην δ᾽ ἥρπαξε ῥόδων καλύκεσσιν ὁμοίην,
πάντ᾽ ἀπομαξαμένην ἔργα τὰ Πηνελόπης.

## <u>ΓΕΩΡΓΙΟΥ ΠΙΣΙΔΗ (7ος αι.),</u>

## 24. <u>Εἰς Ἡράκλειον τὸν βασιλέα καὶ εἰς τοὺς Περσικοὺς πολέμους καὶ ὅτε ἐξῄρχετο ἀπὸ τῆς Πόλεως (ExpeditioPersica) Α'</u>

Ὦ τὰς ἀΰλους τῶν ἄνω στρατηγίας
Τριὰς διευθύνουσα φωσφόρῳ λόγῳ
πρὸς ἔμπυρόν τε καὶ πεπηγμένην στάσιν
-λόγῳ γὰρ αὐτῶν ἐκπυροῦσα τὰς φύσεις
ὕλην ἄϋλον δεικνύειν ἐπίστασαι-
τοὺς οὐρανοὺς πληροῦσα καὶ τὸν αἰθέρα
πυροῦσα καὶ σφίγγουσα τὴν οἰκουμένην,
καὶ πανταχοῦ παροῦσα μὴ κινουμένη,

καὶ μηδαμοῦ χωροῦσα καὶ χωρουμένη
ὅπου δέησις ἐκ βάθους ἀνίπταται,
δὸς τοῖς ἀμυδροῖς τῶν λογισμῶν ὀργάνοις
σάλπιγγος ἦχον καὶ λαλοῦσαν ἀσπίδα.
δίδαξον ἡμᾶς εὔστοχον κινεῖν ξίφος,
γλῶσσαν κατ᾽ ἐχθρῶν, ὅπλον ἠκονημένον·
ἴθυνον ἡμᾶς ἔνθα τῆς ἐξουσίας
τῆς σῆς ἔνεστι συγγράφειν τὰ θαύματα.

**25.** **Εἰς φθόνον.**

Τὸ δευτερεῦον τοῦ φθόνου γράμμα ξέσας
εὕροις ἐν αὐτῷ τὸν φόνον τεθηγμένον
φόνος γάρ ἐστιν ὁ φθόνος τῶν βασκάνων. ...

**26.** **Ἡρακλειάς, ἤτοι εἰς τὴν τελείαν πτῶσιν τοῦ Χοσρόου τοῦ βασιλέως Περσῶν**

Ὅμηρε, τὸν πρὶν μηδαμῶς Ἡρακλέα
θεὸν προσειπεῖν ἀξιώσῃς ἀσκόπως·
τί γὰρ τὸ κοινὸν ὠφέλησε τοῦ βίου
κάπρος φονευθεὶς ἢ λέων πεπνιγμένος;
θαύμαζε μᾶλλον ὡς ἐν ἀνθρώποις ἕνα
τὸν κοσμορύστην εὐλόγως Ἡρακλέα.
Κατῆλθεν οὗτος ἄχρι τῆς Ἅιδου θύρας,
τὴν λύτταν ἦγξε τοῦ κυνὸς τοῦ παμφάγου,
Ἄλκηστιν ἐξήγειρε τὴν οἰκουμένην,
ἀνεῖλε τὸν δράκοντα τὸν μιαιφόνον
καθεῖλεν ὕδραν μυριαύχενον βλάβην,
ῥυπῶντα τὸν πρὶν ἐξεκόπρωσεν βίον,
ἔπνιξε τὸν λέοντα τὸν κοσμοφθόρον,
καὶ νῦν προῆλθεν Ἡρακλῆς τῷ πράγματι
λαβὼν τὰ χρυσᾶ μῆλα, τὰς πόλεις ὅλας.
Παρῆλθε πηγὴ τῆς ἀφεγγοῦς ἑσπέρας,
τὸ φῶς ὑπέστη καὶ διέστη τὸ σκότος·
καὶ δεύτερος νῦν κοσμοποιεῖται βίος
καὶ κόσμος ἄλλος καὶ νεωτέρα κτίσις.
.........................................................................
Ποῦ νῦν Ἀπελλῆς, ποῦ λαλῶν Δημοσθένης,
ὅπως ὁ μέν σου σωματώσας τοὺς πόνους,
ὁ δ᾽ αὖ τὰ νεῦρα τῶν λογισμῶν ἁρμόσας,
ἔμπνουν ἀναστήσωσι τὴν σὴν εἰκόνα;
ὦ Σκηπίων, σίγησον· ἐγράφη νόμος
τοὺς Σκηπίωνας Ἡρακλείωνας λέγειν.
Κοινὸν τὸ δόγμα· νῦν ἀκινδύνως μόνον

ἔξεστι δούλοις νομοθετεῖν πρὸς δεσπότας.
Κύρωσον, ὦ κράτιστε, τὸν νόμον τύπῳ·
………………………………………………………………
Πλούταρχε, σίγα, τοὺς Παραλλήλους γράφων·
Τί πολλά κάμνεις καὶ στρατηγοὺς συλλέγεις;
Τὸν δεσπότην ἔκφραζε, καὶ γράφεις ὅλους.
………………………………………………………………
Ποῦ τῶν Ἀθηνῶν οἱ πρὸ τούτου ζωγράφοι
οἱ τὸν στρατηγὸν Τιμόθεον ἐν ταῖς μάχαις
κοιμώμενον γράφοντες, εἶτα τὴν Τύχην
ἐκεῖθεν ἔνθεν ἐνδισοῦσαν τὰς πόλεις;
Δέον γὰρ αὐτοῖς νῦν ἐναντίως γράφειν,
τὴν μὲν Τύχην σοι πανταχοῦ κοιμωμένην,
μᾶλλον δὲ τοῖς σοῖς ἀντερίζουσαν πόνοις,
σὲ δὲ στρατηγὸν διπλοκινδύνου μάχης
καὶ πρὸς τύχας καμόντα καὶ πρὸς βαρβάρους.
Πόθεν μετῆλθεν εἰς βαφὴν ἐναντίαν
ἡ τῶν τριχῶν σου χρυσομίμητος κόμη;
Ἔβαψεν αὐτὴν ἡ χιὼν τῶν φροντίδων.
Καὶ ποῦ μετέστη τῶν μελῶν ἡ λευκότης;
Πύρωσις αὐτὴν ἀντανεῖλεν ἡλίου;
Ἀπεικὸς οὐδέν, ἀλλ’ ὅμως στοχάζομαι,
ἐν τῷ διαχεῖσθαι τοὺς ἱδρῶτας τῶν πόνων
ἡ λευκότης μετῆλθεν εἰς τὴν καρδίαν.

**AP 15.9, Κύρου Πανοπολίτου**

Πάντα μὲν Αἰακίδαο φέρεις ἀριδείκετα ἔργα
νόσφι χόλου καὶ ἔρωτος· ὀιστεύεις δ’ ἅτε Τεῦκρος,
ἀλλ’ οὔ τοι νόθον ἦμαρ· ἔχεις δ’ ἐρικυδέα μορφὴν
τὴν Ἀγαμεμνονέην, ἀλλ’ οὐ φρένας οἶνος ὀρίνει·
ἐς πινυτὴν δ’ Ὀδυσῆι δαΐφρονι πᾶν σε ἐίσκω,
ἀλλὰ κακῶν ἀπάνευθε δόλων· Πυλίου δὲ γέροντος
ἶσον ἀποστάζεις, βασιλεῦ, μελιηδέα φωνήν,
πρὶν χρόνον ἀθρήσεις τριτάτην ψαύοντα γενέθλην.

## ΘΕΟΔΩΡΟΥ ΣΤΟΥΔΙΤΗ (759-826)

**27. Εἰς ἀπερχόμενον ἀδελφὸν εἰς διακονίαν.**

Πρὶν ἐκπορεύσῃ τὴν πύλην ταύτην, τέκος,
σφραγίδα προσθεὶς εἰς ἅπαν μέλους τόπον,
ἴθι πρὸς ἅσπερ ἐξεπέμφθης φροντίδας,
κάτω νενευκὼς [ἐξωθούμενος βλάβας],
ψαλμόν, προσευχήν, ταῖν δυοῖν ἓν προσλέγων,
τὰς ἀστικώδεις ἐξωθούμενος βλάβας.
Φεύγοις γυναιξὶ συστραφῆναι, κἂν τύχῃ,

στραφεὶς τάχει δὲ τῆς μονῆς εἴσω μένε,
μὴ ὥσπερ ἰχθὺς ἁλὸς ἔξωθεν θάνῃς.

**<u>ΙΓΝΑΤΙΟΥ ΔΙΑΚΟΝΟΥ (9ος αι.)</u>**

**28.** ***<u>Παραινετικὸς ἀλφάβητος</u>***

Ἄκουσον, ὦ παῖ, τῆς ἐμῆς συμβουλίας,
Βλέψον πρὸς αὐτὴν μᾶλλον ἢ πρὸς ἄλλο τι,
Γράψον δὲ ταύτην εἰς πλάτος τῆς καρδίας.
Δὸς πάντα καὶ φρόνησιν ἐκπρίω μόνην.
Ἕωλα πάντα τῆς φρονήσεως ἄτερ.
Ζήλου σοφῶν μάλιστα τὸν σοφὸν βίον.
Ἡ γλῶσσα καιροῦ μηδὲν ἐκφέρει δίχα.
Θήρευε τὰ κράτιστα τῶν νοημάτων.
Ἴχνη δ' ἔρεισον πρὸς πύλας τῶν ἐνθάδε.
Καλῶς βάδιζε καὶ κακὸν πᾶν ἐκτρέπου.
Λόγῳ τρόπους κόσμησον ἢ λόγους τρόπῳ.
Μὴ τῶν ῥεόντων, τῶν μενόντων δ' ἀντέχου.
Νόμων Θεοῦ αὐτός τε μὴ λήθην λάβοις.
Ξένος προσῆλθε; Χριστὸν αὐτὸν ἐννόει.
Ὅλον σεαυτὸν τοῖς μαθήμασιν δίδου.
Πρᾷος, ταπεινὸς τοῖς διδασκάλοις ἔσο.
Ῥᾴθυμον ἔργον μηδὲ προσβλέψαι θέλοις.
Σαυτοῦ δ' ἀδελφοὺς τοὺς ὁμήλικας λέγε.
Τῶν συσχολαστῶν τὰς συνουσίας φίλει.
Ὑπὲρ δὲ ταῦτα καὶ πρὸ πάντων καὶ μόνον
Φοβοῦ τὸ θεῖον ἐξ ὅλης τῆς καρδίας,
Χριστὸν δὲ τοῖς σοῖς ἔνδον ἐν στέρνοις φέρων
Ψυχὴν κράτυνε πρὸ πόνους μαθημάτων,
Ὡς ἂν δι' αὐτῶν καὶ τύχῃς σωτηρίας.

**<u>ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΡΟΔΙΟΥ (9ος-10ος αι.)</u>**

**29.** **<u>Εἰς τὴν εἰκόνα τῆς Θεοτόκου</u>**

Εἰ ζωγραφεῖν τις ἤθελέν σε, Παρθένε,
ἄστρων ἐδεῖτο μᾶλλον ἀντὶ χρωμάτων,
ἵν' ἐγράφῃς φωστῆρσιν ὡς φωτὸς πύλη·
ἀλλ' οὐχ ὑπείκει ταῦτα τοῖς βροτῶν λόγοις·
ἃ δ' οὖν φύσις παρέσχε καὶ γραφῆς νόμος,
τούτοις παρ' ἡμῶν ἱστορῇ τε καὶ γράφῃ.

**<u>ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΛΕΟΝΤΟΣ ΣΤ΄ ΤΟΥ ΣΟΦΟΥ (886-912),</u>**

**30.** **<u>«Καρκινική» επιγραφή,</u>**

ὦ γένος ἐμόν, ἐν ᾧ μέσον ἐγώ.

**ΙΩΑΝΝΗ ΓΕΩΜΕΤΡΗ (β΄ μισό 10ου αι.)**

**31. Εἰς τὸ θέρος**

Ὥρια πάντα τέθηλε καὶ ἄμπελος ἐς τόκον ὀργᾷ,
σμήνεα δ᾽ ἄρτι μέλι χλωρὸν ὑπεκπρορρέει.
Οὔθατα δὲ σφαραγεῦσι, καὶ ἄρνες ἀεὶ σκαίροντες,
αἶγες δ᾽ εὐγλαγέες, λήια κεκλημένα
ὄρνεα δ᾽ εὐφωνοῦσι, καὶ ἄλσεα εὔσκια, δένδρα
ὕδασι δὲ κρυεροῖς ἀμφιγέγηθε πέτρα.
Τέττιξ σύντονον ἠχεῖ, ναυτίλος ἥδιον ἄδει,
ᾆσον Ἰωάννη, καὶ σύ τι κἂν μογέῃς.

**32. Εἰς σαρκικὸν ἔρωτα.**

Ἔρως ὁ δεινὸς ἐκτυφλοί μου τὰς φρένας
ἀλλ᾽ αἰθριάζει σὸς πόθος με, Χριστέ μου.

**33. Εἰς ἑαυτὸν Α΄.**

Οἴμοι! καθ᾽ ἡμῶν καὶ πάλιν τὰ πυρφόρα
πέμπει φλογίζων καρδιῶν ὁ τόξοτης
βέλη τὰ πικρὰ καὶ μέλιτος ἡδίω,
βέλη τὰ δεινὰ καὶ ποθεινά τῇ νόσῳ
ἕστηκα βληθείς, ἐξερύσαι δ᾽ οὐ θέλω.
Ποθῶ φλέγεσθαι, τραυματίζεσθαι πλέον.
Ὢ δεινὰ δεινῶν! Ποῖον ὕδωρ τὴν φλόγα
σβέσει τὸ πικρόν; Ποῖον ἑλκύσει βέλος;
Ὕδωρ τὸ σὸν ζῶν, Χριστέ μου, καὶ σὸς λόγος.
Χρῆσαι, λυτρωτά, συντόμως τοῖς φαρμάκοις.

**Εἰς βασιλέα Ἡράκλειον.**

Μελαμβαφὲς πέδιλον ἐνδύσας πόδα
βάψαις ἐρυθρῶν Περσικῶν ἐξ αἱμάτων.

**ΧΡΙΣΤΟΦΟΡΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ (11ος αι.)**

**34. Εἴς τινα φίλον ἐξ ἀγροῦ σταφυλὰς πέμψαντα**

Σὺ μέν με καρποῖς δεξιοῖ τῆς ἀμπέλου,
ἐγὼ δὲ καρπῷ τῆς συκῆς χαίρω μάλα
καὶ γὰρ προτιμῶ τὴν συκῆν τῆς ἀμπέλου,
μεμνημένος μὲν καὶ καλῶν συκῆς πάλαι,
μεμνημένος δὲ καὶ κακῶν τῆς ἀμπέλου
ἡ μὲν γὰρ ἐνδύει με γυμνὸν καὶ σκέπει,
ἡ δ᾽ ἐνδεδυμένον με γυμνοῖ τὸν τάλαν
ἡ μὲν καλύπτει τὴν ἐμὴν πρὶν αἰσχύνην,
ἡ δὲ θριαμβεύει με καὶ καταισχύνει
καὶ μαρτυροῦσι τοῦ γένους ἀρχηγέται,

Ἀδὰμ τὸ πρῶτον καὶ τὸ δεύτερον Νῶε.
σύκοις με γοῦν εὔφραινε, βοτρίων δ᾽ ἅλις
τῆς ἀμπέλου γὰρ τὴν συκῆν κρείττω κρίνω,
καλόν τι ποιῶν καὶ καλῶς ἄρα κρίνων
τὴν μὲν γὰρ ἐχθρὰν οἶδα, τὴν δ᾽ εὐεργέτιν
σύκοις με τέρπε ῥὰξ δὲ πολλὰ χαιρέτω.

**35. <u>Εἰς τὸν αὐτὸν σῦκα πέμψαντα.</u>**

Ἔπεμψας ἡμῖν ἐξ ἀγροῦ τοῦ σοῦ σύκα,
ἡμεῖς δὲ καρποῖς χαίρομεν τῆς ἀμπέλου,
ὡς τῆς συκῆς κρίνοντες αὐτὴν βελτίω
ἡ μὲν γὰρ αὐτῶν καὶ κατηράθη πάλαι,
ἡ δ᾽ ηὐλογήθη μυστικωτέρῳ τρόπῳ
καὶ τὴν μὲν οἴσεις θῦμα τῷ θεοῦ δόμῳ,
ἡ δ᾽ οὐ μετάσχῃ τοῦδε τοῦ θείου κλέους
καὶ μαρτυρεῖ μοι δεσπότης θεὸς λόγος,
τὴν μὲν συκῆν πρὶν εἰς ἀρὰν κατακρίνας,
ὡς μηδὲ καρπὸν ἐξενεγκεῖν εἰσέτι,
τὴν ἄμπελον δὲ τιμιωτάτην κρίνας,
ὡς κλῆσιν αὐτῆς εἰς ἑαυτὸν ἑλκύσαι
καὶ πρὸς μαθητὰς τοὺς ἄγαν φιλουμένους
οἰκεῖον αἷμα τῆσδε τὸν καρπὸν φάναι.
ἐκ βοτρύων τοίνυν με δεξιοῦ, φίλε,
σύκων ἀποστὰς ὡς ἀρᾶς πεπλησμένων

**36. <u><***>αι Ἀνδρέαν, ὀστᾶ ἰδιωτῶν ὡς ἁγίων λείψανα ἐξωνούμενον <***> τε μέλη ἄπειρα ὡς ἑνὸς καὶ τοῦ αὐτοῦ ἁγίου <***>ον δέχεται.</u>**

Πολλοὶ λέγουσιν—εἰ δ᾽ ἀληθεῖς οἱ λόγοι,
οὐκ οἶδα, —πλὴν λέγουσι καὶ πείθουσί με,
ὡς σφόδρα χαίρεις, ὦ μοναστὰ καὶ πάτερ,
εἴ τις σε σεπτοῖς δεξιοῦται λειψάνοις
ἀνδρῶν ἀθλητῶν ἢ σεβαστῶν μαρτύρων,
θήκας δὲ πολλὰς λειψάνων θείων ἔχεις,
ἃς ἐξανοίγων τοῖς φίλοις σου δεικνύεις·
Προκοπίου μὲν μάρτυρος χεῖρας δέκα,
Θεοδώρου δὲ πεντεκαίδεκα γνάθους
καὶ Νέστορος μὲν ἄχρι τῶν ὀκτὼ πόδας,
Γεωργίου δὲ τέσσαρας κάρας ἅμα
καὶ πέντε μασθοὺς Βαρβάρας ἀθληφόρου·
καὶ νῦν μὲν ὀστᾶ δώδεκα βραχιόνων
τοῦ καλλινίκου μάρτυρος Δημητρίου,
νῦν δ᾽ αὖ καλάμους εἴκοσι σκελῶν ὅλων
τοῦ Παντελεήμονος· ὢ τῆς πληθύος.

λέγεις δὲ πίστει ταῦτα πάντα λαμβάνειν,
οὐκ ἀμφιβάλλων, οὐκ ἀπιστῶν οὐδόλως,
αἰδῶ τε πολλὴν τοῖς κιβωτίοις νέμειν
καὶ προσκυνεῖν ὡς ὄντα Χριστοῦ μαρτύρων.
βαβαὶ ζεούσης πίστεως σῆς, Ἀνδρέα,
ἥτις σε πείθει τοὺς μὲν ἀθλητὰς Ὕδρας,
τὰς μάρτυρας δὲ θῆρας οἴεσθαι κύνας,
τοὺς μὲν κεφαλὰς μυρίας κεκτημένους.
τάς δ’ αὖ γε μασθῶν πλῆθος ὥσπερ αἱ κύνες.
ἐκ πίστεως σῆς καὶ πρὸς ἰχθῦν ἐστράφη
Νέστωρ ὁ μάρτυς, ὀκτάπους δεδειγμένος,
καὶ Προκόπιον πίστις ἡ σὴ δεικνύει
Βριάρεων κομῶντα χειρῶν πληθύϊ.
λέγεις ὁ σεμνὸς καὶ Θέκλας τῆς πρωτάθλου
ὀδόντας ἑξήκοντα—φεῦ πλάνης—ἔχειν
καὶ τοῦ μεγίστου Προδρόμου λευκὰς τρίχας.
αὐχεῖς δὲ καὶ πρὸς πάντας, ὡς νῦν ἐπρίω
ἐκ τῶν γενείων τῶν σφαγέντων νηπίων
ἐν Βηθλεέμ, πρὶν τῆς Ἰουδαίας πόλει·
φάσκεις δὲ τιμᾶν ταῦτα, πιστοῖς ὡς νόμος.
ὦ πίστις ὀρθή, πίστις ἠνθρακωμένη,
ἣ τοὺς πατρῴους οὐκ ἀπαρνεῖται νόμους,
τῶν Μακκαβαίων τὸ ζέον μιμουμένη·
ὦ πίστις οὐκ ἔχουσα μῶμον οὐδένα,
τάξεις ἀνατρέπουσα καὶ φύσεις μόνον,
νῦν μὲν γυναῖκα δεικνύουσα πρεσβύτιν
ὅλην ὀδόντων σχοῦσαν ἑξηκοντάδα,
νῦν δ’ αὖ γε λευκαίνουσα τὴν κόμην νέῳ
καὶ νηπίοις διδοῦσα πωγώνων πλάτη.
εἰ ταῦτα πιστῶς ὡς ἀληθῆ προσδέχῃ
καὶ χρημάτων κένωσιν ἡδέως δέχῃ,
οὐκ ἄν γε σοι λείψειε πλῆθος λειψάνων·
ἔσται γάρ, ἔσται λειψάνων ἔτι πράσις,
ἕως ἂν ἠχήσειε σάλπιγξ ἐσχάτη,
κινοῦσα ταῦτα καὶ συναθροΐζουσά πως
ἄφθαρτον εἰς σύμπηξιν ἄλλης οὐσίας,
σφίγγουσα τὰ πρὶν ἐκ φθορᾶς λελυμένα,
ἑνοῦσα θᾶττον τὰ πρὶν ἐσκορπισμένα,
πνοὴν διδοῦσα πᾶσιν ἐκπεπνευκόσιν
καὶ πάντας εἰς τὸ βῆμα συγκαλουμένη,
τὸ φρικτὸν ὄντως βῆμα καὶ φόβου γέμον,
ἐν ᾧπερ αὐτὸς πράξεως οὐκ ἐνθέου
ὀρθῶς ὑπόσχῃς ἀξίαν τιμωρίαν,

ἀνθ’ ὧν παρηνόμησας οὕτως ἀφρόνως,
ὀστᾶ βεβήλων οἷα σεπτῶν μαρτύρων
ὠνούμενός τε καὶ κατακλείων πόθῳ.
τί καὶ τοσοῦτον ἐκκενοῖς οὖν χρυσίον;
ἔξεστι καὶ γὰρ δωρεάν σε λαμβάνειν,
πρὸς τοὺς τάφους τρέχοντα τοὺς ἐν τῇ πόλει·
εἴπερ δὲ μισθὸν οὐ κομίζεσθαι λέγεις,
ἂν προῖκα ταῦτα λαμβάνῃς ἐκ μνημάτων,
ἴθι πρὸς ἐξώνησιν, ἡδέως ἴθι·
ῥᾷον κενώσεις ἅπαν αὐτὸς χρυσίον
ἢ τοὺς τάφους ἅπαντας οἱ νεκροπράται.
ἔγωγε τοίνυν τοῦτο θαυμάζειν ἔγνων;
πῶς οὐκ ἀπιστεῖς τοῖς πράταις τῶν ὀστέων,
τοὐναντίον δὲ καὶ προσηνῶς προσδέχῃ @1
ἅπαντας αὐτοὺς καὶ μεθ’ ἡδονῆς ὅσης·
ἤκουσα δ’ αὐτὸς πρός τινος τῶν σῶν φίλων,
ὡς γνοὺς πλάνος τίς πίστεως σῆς τὸ ζέον
ὀστοῦν προβάτου μηριαῖον λαμβάνει
<*****************************************>
ἅπαν τε κύκλῳ βάμματι χρίσας κρόκου
καὶ θυμιάσας καὶ περιστείλας ἅμα,
πρόσεισιν εὐθὺς καὶ δίδωσί σοι λέγων·
“Ὀστοῦν ὑπάρχει τοῦτο μάρτυρος Πρόβου,”
—τό δ’ ἦν προβάτου μᾶλλον, ἀλλ’ οὐχὶ Πρόβου—
“δεῖ τοιγαροῦν σοι χρυσίνων ἓξ καὶ δέκα.”
λαβεῖν τί χρῆμα θεῖον ᾠήθης, πάτερ,
ἐκ πίστεως καὶ τοῦτο ποιήσας τάχα·
πολλὴ γάρ ἐστι πίστις ἡ σὴ καὶ λίαν
καὶ μὴν δυνηθῇ καὶ μεθιστᾶν τὴν κτίσιν,
ὅπου γε μικρὰ πίστις ἀκραιφνεστάτη
ὡς κόκκος εἷς νάπυος, ὁ Χριστὸς λέγει,
ὄρη μεθιστᾶν εὐκολώτατα σθένει.
πλὴν ἀλλ’ ἐπεί σε πιστὸν ἔγνων εἰς ἄκρον,
οὐκ ἀμφιβάλλειν οὐδὲ διστάζειν ὅλως
πρὸς τὰς δόσεις θέλοντα τὰς τῶν λειψάνων,
παρέξομαί σοι προῖκα χρῆμα τί ξένον·
Ἐνὼχ τὸν ἀντίχειρα τοῦ τρισολβίου,
ὃς τοῦ παρόντος ζῶν μετηνέχθη βίου, @1
καὶ γλουτὸν αὐτὸν Ἠλιοὺ τοῦ Θεσβίτου,
ὃς ζῶν ἀνῆλθεν εἰς πόλον διφρηλάτης·
βούλει παράσχω λειψάνοις τούτοις ἅμα
καὶ δάκτυλόν σοι Μιχαὴλ ἀρχαγγέλου;
ἔσται, παράσχω τοῦτον ἐκ Χωνῶν ἔχων,

μόνον σύ μοι πίστευε ταῦτα λαμβάνων,
ὡς εἰσὶ τούτων, ὧν ἐγὼ διδοὺς λέγω.
δώσω σὺν αὐτοῖς καὶ βραχὺ πτερῶν μέρος
τοῦ Γαβριὴλ σοι τοῦ μεγίστου τῶν νόων·
ἐν Ναζαρὲτ γὰρ πρὶν κατελθὼν τῇ πόλει
πτερορρυήσας ἐξανέπτη πρὸς πόλον·
ἤχθησαν οὖν ἐκεῖθεν ὧδε τὰ πτίλα,
ἐγὼ δὲ ταῦτα πάντ᾽ ἐπέσχον ἐσχάτως
καὶ σοὶ παράσχω, πιστὲ λειψάνων φίλε.
ἀλλ᾽ οὐδ᾽ ἐκείνων φείσομαι τῶν κρειττόνων,
οὕτω σε πιστεύοντα πρὸς ταῦτα βλέπων,
τὸν ἡδὺν ὄντως ἐν μονασταῖς Ἀνδρέαν·
δώσω δέ σοι κἀκεῖνα σὺν προθυμίᾳ·
ἑνὸς χερουβὶμ ὀμμάτων τριῶν κόρας
καὶ τῆς φλογίνης χεῖρα ῥομφαίας μίαν,
ἣν ἐξανάψας ἐν μέσῳ τῶν λειψάνων
ἄλλου παρ᾽ αὐτὴν οὐ δεηθήσῃ λύχνου·
φλὸξ οὖσα καὶ γὰρ ἥδε καὶ φῶς ἐκφέρει,
ὃ πάντα νικᾷ φῶτα λαμπρῶν ἀστέρων·
ἕξεις ἐκείνην τοιγαροῦν σὺ καὶ λύχνον
καὶ λείψανον κάλλιστον, εἴπερ ἄλλό τι.
καὶ πάντα ταῦτα προῖκα καὶ χωρὶς πόνου
λοιποῖς συνάψας σοῖς ἀπείροις λειψάνοις,
θήσεις με πρῶτον τοῦ χοροῦ τῶν σῶν φίλων,
εὐεργέτην καλῶν με πάντα τὸν χρόνον·
οὕτω γάρ ἐστιν, ὥσπερ οἶμαι, καὶ πρέπον.
ὑπογραφεύς σοι ταῦτα τοῦ βασιλέως,
ὁ Χριστοφόρος, εἴ με γινώσκειν ἔχεις,
ἀγχοῦ μὲν οἰκῶν τοῦ νεὼ Πρωτασίου,
ἀμφ᾽ αὐτὸ φημὶ τὸ Στρατήγιον, πάτερ,
ποθῶν δὲ καὶ σὲ γνώριμον σχεῖν καὶ φίλον,
ὡς ἂν γελῴην ἡδέως καθ᾽ ἡμέραν,
τῶν θλίψεων εὑρών σε φάρμακον μέγα.

**37. Εἰς τὸν Βασίλειον τὸν λεγόμενον Χοιρινόν, πολλάκις αἰτήσαντα ἐκ τῶν συγγραμμάτων αὐτοῦ.**

Τί πολλὰ γρύζεις τοὺς ἐμοὺς ζητῶν λόγους
καὶ «σαῖς γραφαῖς θρέψον με» συχνῶς μοι λέγεις;
ἄπελθε πόρρω χοῖρος οὐ τρώγει μέλι
ἔχεις βαλάνους δεῖπνον, εἰ βούλει, φίλον
ἂν οὖν μάλιστα καὶ κερατίων δέῃ,
ἡ σύζυγος πλήσει σε καὶ κερατίων.

**38. Εἰς τὸν βασιλικὸν νοτάριον Κωνσταντῖνον, εἰπόντα βδελύττεσθαι τὸν πηλὸν καὶ διὰ τοῦτο τῆς οἰκίας μὴ προϊέναι.**

Πηλὸν βδελύττῃ καὶ μένεις ἔνδον δόμου;
καὶ μὴν ὁ πηλὸς οὐδαμῶς ἄπεστί σου,
κἄνπερ προέρχῃ, κἄνπερ ἐν δόμῳ μένῃς
ὅλος γὰρ αὐτὸς πηλὸς εἶ, Κωνσταντῖνε.
τὸ συγγενὲς γοῦν μὴ βδελύττεσθαι θέλε,
σαυτοῦ γινώσκων πηλὸν οὖσαν τὴν φύσιν.

**39. <u>Εἰς τοὺς τέσσαρας τοῦ χρόνου καιρούς. ἡρωϊκά.</u>**

Οἵδε φθινομένης ἔασι τρεῖς μῆνες ὀπώρης·
πρώτατος οἰνοφόρος Σεπτέμβριος ἀγλαόβοτρυς,
δεύτερος αὖτ᾽ ἐπὶ τούτῳ μὴν Ὀκτώβριος ἐστίν,
εἶτα τρίτος μετὰ τούσδε, Νοέμβριε, αὐτὸς ἂν εἴης.
μῆνες χειμερίης ἔασι τρεῖς ἄγριοι ὥρης,
ὧν τὸν μὲν καλέουσι Δεκέμβριον—ἔστι δὲ πρῶτος—,
τὸν δ᾽ αὖ Ἰαννουάριον, ὃς μετὰ πρῶτον ἐλαύνει·
οὔνομα δὲ τριτάτῳ Φεβρουάριος μετὰ τούσδε.
ὥρης εἰαρινῆς ἔασι τρεῖς οἵδ᾽ ἄρα μῆνες·
Μάρτιος, ἑξείης δὲ Ἀπρίλλιος, εἶτα Μάϊος
<βλαστὰ> φέρων, ἐνιαυτοῦ ἀμείνονες ἐννέα μηνῶν·
ἡδὺ γὰρ ἠέλιος μάλα ἐν τούτοισιν ἀνίσχει.
τρεῖς θέρεος μῆνας καματώδεος εὕρετο ὥρη,
ὧν τὸν μὲν καλέουσιν Ἰούνιον, ἐν τρισὶ πρῶτον,
τὸν δ᾽ ἕτερον μετὰ πρῶτον Ἰούλιον· ὁ τρίτατος δέ,
Αὔγουστος μετὰ τούς, μηνῶν ἰνδίκτου ὁ λοῖσθος.

**<u>ΙΩΑΝΝΗ ΜΑΥΡΟΠΟΔΟΣ (11ος αι.)</u>**

**40. <u>Εἰς τὴν μεταμόρφωσιν</u>**

Φρίξον, θεατά, τὴν ὁρωμένην θέαν,
καὶ στῆθι μακράν, εὐλαβῶς κάτω βλέπων,
μήπως καταστράψῃ σε Χριστὸς ἐγγύθεν,
καὶ ζημιωθῇς σαρκικῶν φῶς ὀμμάτων
ὡς Παῦλος ἄλλος, ἀστραπῇ βεβλημένος.
ὁρᾷς μαθητὰς ἐνθάδε προκειμένους;
οὐ γὰρ φέρειν ἔχουσι τὴν λαμπηδόνα.
βλέπει δὲ Μωσῆς τὴν χάριν σὺν Ἡλίᾳ·
γνόφος γὰρ αὐτοῖς προξενεῖ παρρησίαν.
σὺ δ᾽ εἰ λαλούσης ἐκ γνόφου φωνῆς μόνον
θείας ἀκούσεις, εὐτυχεῖς, καὶ προσκύνει.

**<u>ΘΕΟΔΩΡΟΥ ΠΡΟΔΡΟΜΟΥ (12ος αι.)</u>**

**41. <u>Στίχοι εἰς τὴν στεφηφορίαν Ἀλεξίου τοῦ Κομνηνοῦ</u>**

Ἥλιε Ῥώμης νεαρᾶς, αἴγλη φωτὸς μεγάλου,
ἀντίτυπε τοῦ κτίσαντος τὸ σύμπαν ἀρχετύπου,
ἰσοταχὲς τῷ γίγαντι φωσφόρῳ τῷ μεγάλῳ,
εἰ θάλπεις, εἰ ζωογονεῖς, εἰ διοικεῖς προνοίᾳ,
ἂν αὔξεις, εἰ τελεσφορεῖς, εἰ βλέπεις ἀλαθήτως·
ἥλιε καὶ παρήλιε, δύο λαμπροὶ φωστῆρες,
πατὴρ καὶ τέκνον βασιλεῖς, βλαστήματα πορφύρας,
σωτῆρες Ῥώμης νεαρᾶς, πύργων εὐτάφρων δόξα,
ἰσοταχεῖς ἰσοφεγγεῖς ὁμότιμοι μεγάλοι,
λάμπετε δήμοις εὐμενὲς ἀπὸ ψυχῆς πραείας.

**42. <u>Εἰς τὸν Ἀβραὰμ ξενίζοντα τὴν ἁγίαν Τριάδα</u>**

– Τί ταῦτα ποιεῖς; Βουθυτεῖς, Ἄβραμ γέρον;
– Οὔκ· ἀλλὰ δεῖπνον καὶ τράπεζαν ἀρτύω.
– Ὁ δαιτυμὼν τίς, ᾧ τὸ δεῖπνον ἀρτύεις;
– Ἡ Τριὰς αὐτή. – Καὶ Θεὸς βοῦν ἐσθίει;
– Οὐ γὰρ ἐρευνῶ τοὺς ἀπορρήτους λόγους.
– Ὢς ὑπέρευγε πίστεως τῆς σῆς, γέρον·
ὡς ὑπέρευγε τοῦ φιλοξένου βίου·
καρπὸν γὰρ ἀμφοῖν, καρπὸν ὀσφύος θύεις.

**43. <u>Ἐπὶ ἀναγνώσει</u>**

– Ὁ παμβασιλεὺς ἐξανέστη τοῦ τάφου·
ἡ συναγωγὴ τῶν Ἰουδαίων μάθε
πῶς ἐξανέστη τοῦ τάφου κεκλεισμένου
καὶ κειμένου δ᾽ ἄνωθεν αὐτοῦ τοῦ λίθου,
καθὼς προῆλθεν ἐκ πύλης κεκλεισμένης,
τῆς παρθενικῆς ἐσφραγισμένης πάλιν.
– Ψευδὲς τὸ ῥητόν· τίς γὰρ ἂν πίστιν λάβῃ;
Τὸ γὰρ ἀληθὲς τοῖς μαθηταῖς ἐκλάπη.
– Ποῖ δ᾽ οἱ φύλακες ἦσαν; Οὐκ ἐν τῷ τάφῳ
ἐπαγρυπνοῦντες παρ᾽ ὅλην γε τὴν νύκτα;
– Ὀλίγον ἀφύπνωσαν ἐκ ῥᾳθυμίας,
εὐθύς δ᾽ ὁ νεκρὸς τοῖς μαθηταῖς ἐκλάπη.
– Ἀσυλλόγιστον εἶπας· αἱ γὰρ σφραγίδες
σῶαι μένουσιν, ὡς λέγεις, ἐν τῷ τάφῳ·
εἰ γὰρ ὁ Χριστὸς τοῖς μαθηταῖς ἐκλάπη,
οὐκ ἦν ὁ τάφος ἐσφραγισμένος πάλιν;
Πίστευε λοιπόν, τὴν ἀνάστασιν λέγε·
τοῖς στρατιώταις μηδαμῶς χρυσοῦν δίδου
Χριστὸν κλαπέντα μαρτυρεῖν πανταχόσε,
ἐπείπερ οὐ δόξουσιν ἀληθῶς λέγειν.
Ὁ γὰρ ἀληθὴς ἀμετάβλητος Λόγος

ἀρκεῖ τοσαῦτα τοῖς Ἰουδαίοις λέγειν·
τυφλοὶ γὰρ ὄντες, οὐ δύνανταί τι βλέπειν,
ἀλλ’ οὐδὲ κωφεύοντες ἀκούειν ὅλως.
Σύ δ’ ἐξαναστάς, ὦ Θεοῦ θυηπόλε,
τὸν εὐλογητὸν τοῖς προκειμένοις δίδου.

**44. Κατομυομαχία**

Κρεΐλλος
Τί τὸν τοσοῦτον, ἀνδρικώτατοι, χρόνον
μένοντες εἴσω τῶν ὀπῶν ἀεννάως
δείμῳ σύνεσμεν καὶ φρίκῃ καὶ δειλίᾳ
καὶ δυσμόρως δίιμεν οἰκεῖον βίον,
μηδὲ προκύψαι τῆς ὀπῆς ᾐρημένοι,
ἀλλ’ οἰκτρότατοι καὶ φόβου πεπλησμένοι
βίον σκοτεινὸν ἀθλίως μυωξίαις
ζῶμεν, καθώσπερ οἱ πεφυλακισμένοι,
καὶ νύκτα τὸν σύμπαντα τοῦ χρόνου δρόμον
μακρὰν δοκοῦμεν καὶ σκιὰν τοῦ θανάτου,
ὡς οἱ ζοφώδεις Κιμμέριοι τοῦ λόγου,
οἳ Ποντικῶν ἔχοντες ἀμβλυωπίαν
ζόφωσιν ἑξάμηνον εἷλκον τοῦ βίου;

**45. Τα κατά Ροδάνθην και Δοσικλέα**

Οὐ γὰρ τὸ πικρὸν ἱλεώσω τῆς Τύχης,
δὶς αἰχμαλωτισθεῖσα παρὰ βαρβάρων,
πόδας δεθεῖσα, χεῖρας, αὐτὸν αὐχένα,
γῆς πατρικῆς ἄποικος, ἠρημωμένη,
φίλου τε πατρὸς καὶ φίλης μητρὸς ξένη.
Οὐ ταῦτα τὴν ἄπληστον αὐτῆς γαστέρα
ἔπλησεν, οὐκ ἔδωκε τῷ λαιμῷ κόρον,
ἀλλὰ χανοῦσα λίχνον ἐξ ἀπληστίας
ὅλην ἀναιδῶς συγκατερρόφησέ σε,
τῶν δραμάτων ῥήξασα τὸν πολὺν τόμον.
Κατέσχον ἡμᾶς λῃστρικαὶ χεῖρες δύο,
ἐχθρὸς Βρυάξης, ἄλλος ἐχθρὸς Μιστύλος·
ἀλλ’ ἐλπὶς ὑπέδραμεν, ἀλλ’ ἔθαλψέ με
ἐλεύθερον φῶς ὀψὲ γοῦν δεδορκέναι,
τοῦ δουλικοῦ τεθέντος ἐκποδὼν <κ>νέφους·
νῦν δ’ ἀλλ’ ὁ πικρὸς ἐχθρὸς, ἡ σκαιὰ φύσις,
ἡ βάρβαρος θάλασσα, τὸ σκληρὸν γένος,
καινῇ φυλακῇ δυσμενῶς ἔκλεισέ σε,
καιναῖς τε δεσμῶν πλεκτάναις ἔδησέ σε,
ἐξ ὧν λυθῆναι πᾶσα δυσελπιστία.

**46. Εἰς τὴν πλάσιν τῆς Εὔας, ὅπως ὑπνοῦντος Ἀδὰμ λαβὼν μίαν τῶν πλευρῶν αὐτοῦ τὴν γυναῖκα ἐποίησεν.**

- Ὑπνοῖ δ᾽ ἐκεῖνος ἢ νενέκρωται, ξένε,
ὃς τὴν ὅλην γοῦν πλευρὰν ἀφῃρημένος
κεῖται τανυσθεὶς οὐ δ᾽ ἐπέγνω τὸ δράμα;
- Σίγα̨ θεὸς δρᾷ τῆς γυναικὸς τὴν πλάσιν.

**ΝΙΚΗΤΑΣ ΕΥΓΕΝΕΙΑΝΟΣ (12ος αι.)**

**47. Τα κατά Δρόσιλλαν και Χαρικλέα**

*Ὑπόθεσις τοῦ ὅλου βιβλίου*
Αὐτοῦ Δροσίλλης ἀλλὰ καὶ Χαρικλέους
φυγή, πλάνη, κλύδωνες, ἁρπαγαί, βίαι,
λησταί, φυλακαί, πειραταί, λιμαγχόναι,
μέλαθρα δεινὰ καὶ κατεζοφωμένα,
ἐν ἡλίῳ λάμποντι μεστὰ τοῦ σκότους,
κλοιὸς σιδηροῦς ἐσφυρηλατημένος,
χωρισμὸς οἰκτρὸς δυστυχὴς ἑκατέρων,
πλὴν ἀλλὰ καὶ νυμφῶνες ὀψὲ καὶ γάμοι.

Καταλαβούσης τοιγαροῦν τῆς ἑσπέρας,
ἀναλαβὼν κίθαριν ἠργυρωμένην,
ἐπέκρουον κρούματα καλλίστῳ κρότῳ
καὶ συγκροτῶν ᾤδευον εἰς Καλλιγόνην
καὶ—τῶν Ὀλυμπίων γὰρ ὑπερεφρόνουν—
τοιῶνδε τερπνῶν ᾀσμάτων ἀπηργμένος.
„Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
Ἡ Νιόβη κλαίουσα λίθος εὑρέθη,
μὴ καρτεροῦσα τὴν στέρησιν τῶν τέκνων·
Πανδίονος δὲ θυγάτηρ παιδοκτόνος
ἐξωρνέωτο πτῆσιν αἰτησαμένη.
Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
Ἐγὼ δ᾽ ἔσοπτρον εὑρεθείην, Ζεῦ ἄναξ,
ὅπως ἀεὶ βλέπῃς με σύ, Καλλιγόνη·
χιτὼν γενοίμην χρυσόπαστος ποικίλος,
ὅπως ἔχω σου θιγγάνειν τοῦ σαρκίου.

**ΜΙΧΑΗΛ ΨΕΛΛΟΣ (12ος αι.),**

**48. Τοῦ ὑπερτίμου κυροῦ Μιχαὴλ τοῦ Ψελλοῦ πρὸς τὸν βασιλέα Μονομάχον**

Οὐκ ἔστι τὸ ψαλτήριον, δέσποτά μου, βιβλίον,
ὡς οἱ πολλοὶ νομίζουσι πάντως ἐξ ἀγνωσίας,
ἀλλ᾽ ἦν τὸ πρὶν δεκάχορδον ὄργανον, ὡς κιθάρα,
ψαλτήριον καλούμενον ἐξ ἐτυμολογίας
ἀπὸ τοῦ τὰ ψαλλόμενα τηρεῖν τοὺς μελῳδοῦντας·

πρὸς τοῦτο τὸ ψαλτήριον οἱ ψαλμοὶ τοῦ προφήτου
ἐμελῳδοῦντο σύμπαντες ἐμμέτρως γεγραμμένοι.
ὕστερον δὲ τὸ σύνταγμα τῶν ψαλμῶν συντεθέντων
ψαλτήριον ὠνόμασται ὡς ἐκ μετωνυμίας.
ἔχει δὲ τὸ ψαλτήριον ψαλμούς, αἴνους καὶ μέλη.
ἔχουσι δ᾽ ἐπιγράμματα τοὺς σκοποὺς προδηλοῦντα
δύσκολα καὶ δυσνόητα· τούτων τὴν γνῶσιν μάθε.

**49.** **[Σε έναν από τους τέσσερις ίππους του Λυσίππου, που βρίσκονταν στον Ιππόδρομο της Κωνσταντινούπολης.]**

Ἔμπνους ὁ χαλκοῦς ἵππος οὗτος, ὃν βλέπῃς·
ἔμπνους ἀληθῶς καὶ φριμάσσεται τάχα.
Τὸν πρόσθιον δὲ τούτου ἐξαίρων πόδα,
βαλεῖ σε καὶ λάξ, εἴπερ ἔλθῃς πλησίον.
Δραμεῖν καθορμᾷ, στῆθι, μὴ προσεγγίσῃς·
μᾶλλον δὲ φεῦγε, μὴ λάβῃς τὸ τοῦ λόγου.

## ΜΑΝΟΥΗΛ ΦΙΛΗΣ (13ος-14ος αι.)

**50.** **Στίχοι εἰς τοὺς δώδεκα μῆνας**

Τοῦτ᾽ ἄρα σαφές· ὁ γραφεὺς γὰρ ἐνθάδε
τῷ Μαρτίῳ μὲν ὅπλα καὶ θάρσος γράφει
καὶ κτῆνος ὀργῶν· τακτικὸς γὰρ ὁ χρόνος.
Ἀπρίλλιον δὲ ταῖς γοναῖς καὶ ταῖς πόαις
καὶ ταῖς λύραις δείκνυσι τῶν προβατέων,
οἷς καὶ γάλα προὔθηκεν ἀμέλγειν ζέον.
Καὶ Μάιος μὲν τῇ κρόκῃ τῶν ἀνθέων
τὴν βασιλίδα τιμᾷ τοῦ χρόνου,
χιτῶνας αὐτῇ συντιθεὶς ῥοδοχρόους.
Ἰούνιος δὲ τὴν φυὴν τετηγμένην
ἄλλῃ δρόσῳ κάτωθεν ἡβῶν φαιδρύνει·
θήγει δὲ καὶ δρέπανον εἰς ἕλους χλόην.
Ἰούλιος δὲ βοῦς ὑποζεύξας θέρους
τῶν ἀποδέσμων συντρίβει τὸν ἄσταχυν
καὶ τῇ καθ᾽ αὑτὸν ἀντιτεχνᾶται ζέσει.
Ὁ δὲ φθίνων Αὔγουστος, ἀλγῶν ἐν κλίνῃ,
ῥιπίζεται μέν, ἀλλὰ πυρέττει πλέον,
κἂν τῶν ὀπωρῶν εὐτρεπίζῃ τὸ ψύχος.
Σεπτέμβριος δὲ τοὺς γλυκεῖς βότρυς φέρει,
καὶ ληνοβατῶν εὐλογεῖ τὰς ἐλπίδας
καὶ ξυλίνην γέγηθε πιθάκνην βλέπων.
Ὀκτώβριος δὲ κυνικὸν πράττων βίον
κίρκοις τε καὶ σκύλαξι καὶ βέλους δρόμῳ
αἱρεῖ πετεινὰ καὶ λαγὼς καὶ δορκάδας.

Νοέμβριος δ′ οὖν αὐλακίζει τῷ σπόρῳ
καὶ τῶν κορωνῶν ἀντιπίπτει τῷ θράσει,
μὴ χανδὸν ἁρπάσωσι καὶ τὰς ἐλπίδας.
Δεκέμβριος δὲ τοὺς βαρεῖς λύσας πόνους
αὐτὴν ἑαυτῷ δεξιοῦται τὴν φύσιν
σίφωνι καὶ κρατῆρι καὶ πίθων χύσει.
Ὁ δ′ αὖ μετ′ αὐτὸν ἐκ νεφῶν ὄμβρους βλέπων
συῶν σφαγαῖς κέχηνε βορβοροτρόφων.
Ὁ δ′ ἔσχατος μὴν εἰς ποτὸν χαίνει ζέον
καὶ πῦρ ὁμαλὲς καὶ κρεῶν ἀμετρίαν.

**51. Εἰς τὴν ὑπαπαντήν.**

Ὁ πρέσβυς ἐν γῇ τὸν θεὸν βρέφος βλέπων
Δεῖται λυθῆναι τῆς φθορᾶς τοῦ σαρκίου·
Τὸ δὲ βρέφος γέγηθε τὸν πρέσβυν βλέπον
Αἱρούμενον ζῆν ἀσφαλέστερον βίον.

**52. Εἰς τὴν αὐτήν.**

Κόλπους πατρὸς τυποῦσι τοῦ σοῦ, Χριστέ μου,
Τοῦ Συμεὼν αἱ χεῖρες αἳ φέρουσί σε.

**53. Εἰς τὴν ἀποκαθήλωσιν.**

Ναὶ θάπτε, Νικόδημε, τὸν ζῶντα σπόρον,
Καὶ κρύπτε καὶ λίπαινε δάκρυσι βρέχων.
Τριήμερος γὰρ ἐκδοθήσεται στάχυς,
Τροφεὺς νοητὸς καὶ λιμὸν ζωῆς λύων.

**54. ΧΡΙΣΤΟΣ ΠΑΣΧΩΝ**

Θεοτόκος
Αἲ αἴ, τί δράσω; καρδία γὰρ οἴχεται.
Πῆ πῆ πορεύῃ, Τέκνον; ὡς ἀπωλόμην·
ἕκητι τίνος τὸν ταχὺν τελεῖς δρόμον;
μὴ γάμος αὖθις ἐν Κανᾷ κἀκεῖ τρέχεις,
ἵν′ ἐξ ὕδατος οἰνοποιήσῃς ξένως;
Ἐφέψομαί σοι, Τέκνον, ἢ μενῶ σ′ ἔτι;
Δὸς δὸς λόγον μοι, τοῦ Θεοῦ Πατρὸς Λόγε
Μὴ δὴ παρέλθῃς σῖγα δούλην μητέρα·
νῦν γὰρ στόματος φιλίου χρῄζω σέθεν
φωνῆς ἀκοῦσαι καὶ προσειπεῖν, ὦ Τέκνον.
Δός μοι πρὸς αὐτοῦ Πατρός, ὦ Τέκνον, σέθεν,
Σοῦ θεσπεσίου χρωτὸς ἅψασθαι χεροῖν
Ψαῦσαι ποδῶν τε καὶ περιπτύξασθαί σε.

Φεῦ φεῦ, τί δράσω; καρδία μου δίκεται.
Ὦ δεῦτε, φίλαι, δεῦτε, λίπωμεν φόβον·
προσέλθετ', ἀσπάσασθε καὶ προσείπατε,
λάζεσθε χειρὸς δεξιᾶς. Τάλαιν' ἐγώ,
ὡς ἀρτίδακρύς εἰμι καὶ φόβου πλέα.
Αἴ αἴ, πανώλης ἡ τάλαινα ἀπόλλυμαι.
Γυναῖκες, ὄψιν στυγνὰν ὡς εἶδον Τέκνου,
ποθῶ τεθνάναι, ζῆν δ' ἔτι οὐδαμῶς φέρω.
Οἴμοι, τί δράσω; πῶς λάθω λαῶν χέρας;
ἐχθροὶ γὰρ ἐξιᾶσι πάντα δὴ κάλων,
κοὐκ ἔστιν ἄτης εὐπρόσοιστος ἔκβασις.
Τί γοῦν τί δράσω; πῶς φύγω τόσους βρόχους;

## ΟΙ ΑΠΑΡΧΕΣ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΥΜΝΟΓΡΑΦΙΑΣ: ΟΙ ΠΡΩΤΟΧΡΙΣΤΙΑΝΙΚΟΙ ΥΜΝΟΙ

### Ι. ΥΜΝΟΙ ΣΕ ΡΥΘΜΙΚΟ ΠΕΖΟ ΛΟΓΟ ΚΑΙ ΤΟΝΙΚΑ ΜΕΤΡΑ
### Α΄. Εμμετρες περικοπές από την Παλαιά και Καινή Διαθήκη

**55. Η Κυριακή Προσευχή**

2 Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς·
3 τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν τὸ καθ' ἡμέραν·
4 καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν· καὶ γὰρ αὐτοὶ ἀφίεμεν παντὶ τῷ ὀφείλοντι ἡμῖν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

(Λουκ. 11, 2-4)

9 Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου·
10 ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.
11 τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον·
12 καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν·
13 καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

(Ματθ. 6, 9-13)

**56. *ὕμνος τῆς ἀγάπης* του αποστόλου Παύλου**

1 Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον.
2 καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι.
3 καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι.
4 Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, ἡ ἀγάπη οὐ ζηλοῖ, ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται,
5 οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν,
6 οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ·
7 πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει.
8 Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. εἴτε δὲ προφητεῖαι, καταργηθήσονται· εἴτε γλῶσσαι, παύσονται· εἴτε γνῶσις, καταργηθήσεται.
9 ἐκ μέρους δὲ γινώσκομεν καὶ ἐκ μέρους προφητεύομεν·
10 ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται.
11 ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου.
12 βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην.
13 νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη.
(Κορ. Α΄, 13, 1-13)

**57. <u>Αντίφωνα</u>**

Σήμερον κρεμᾶται ἐπὶ ξύλου
ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας.
Στέφανον ἐξ ἀκανθῶν περιτίθεται
ὁ τῶν ἀγγέλων βασιλεύς.
Ψευδῆ πορφύραν περιβάλλεται
ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις.
Ῥάπισμα κατεδέξατο
ὁ ἐν Ἰορδάνῃ ἐλευθερώσας τὸν Ἀδάμ.
Ἥλοις προσηλώθη ὁ Νυμφίος τῆς Ἐκκλησίας.
Λόγχῃ ἐκεντήθη ὁ Υἱὸς τῆς Παρθένου.
Προσκυνοῦμέν σου τὰ πάθη, Χριστέ.
Δεῖξον ἡμῖν καὶ τὴν ἔνδοξόν σου ἀνάστασιν

**58. <u>Επιγράμματα της Μ. Εβδομάδος</u>**

- Τῇ ἁγίᾳ καὶ μεγάλῃ Δευτέρᾳ, μνείαν ποιούμεθα τοῦ μακαρίου Ἰωσὴφ τοῦ Παγκάλου, καὶ τῆς ὑπὸ τοῦ Κυρίου καταραθείσης καὶ ξηρανθείσης Συκῆς.

Στίχοι εἰς τὸν Πάγκαλον Ἰωσὴφ
Σώφρων Ἰωσήφ, δίκαιος κράτωρ ὤφθη,
Καὶ σιτοδότης, ὢ καλῶν θημωνία!

Ἕτεροι, εἰς τὴν ξηρανθεῖσαν Συκῆν
Τὴν Συναγωγήν, συκῆν Χριστός, Ἑβραίων,
Καρπῶν ἄμοιρον πνευματικῶν εἰκάζων,
Ἀρᾷ ξηραίνει, ἧς φύγωμεν τὸ πάθος.

- Τῇ ἁγίᾳ καὶ μεγάλῃ Τρίτῃ, τῆς τῶν δέκα Παρθένων παραβολῆς, τῆς ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου, μνείαν ποιούμεθα.

Στίχοι
Τρίτη μεγίστη Παρθένους δέκα φέρει,
Νίκην φερούσας ἀδεκάστου Δεσπότου.

- Τῇ ἁγίᾳ καὶ μεγάλῃ Τετάρτῃ, τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ Πόρνης γυναικός, μνείαν ποιεῖσθαι οἱ θειότατοι Πατέρες ἐθέσπισαν, ὅτι πρὸ τοῦ σωτηρίου Πάθους μικρὸν τοῦτο γέγονε.

Στίχοι
Γυνή, βαλοῦσα σώματι Χριστοῦ μύρον,
Τὴν Νικοδήμου προὔλαβε σμυρναλόην.

- Τῇ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ, οἱ τὰ πάντα καλῶς διαταξάμενοι θεῖοι Πατέρες, ἀλληλοδιαδόχως ἔκ τε τῶν θείων Ἀποστόλων, καὶ τῶν ἱερῶν Εὐαγγελίων, παραδεδώκασιν ἡμῖν τέσσαρά τινα ἑορτάζειν, τὸν ἱερὸν Νιπτῆρα, τὸν μυστικὸν Δεῖπνον (δηλαδὴ τὴν παράδοσιν τῶν καθ' ἡμᾶς φρικτῶν Μυστηρίων), τὴν ὑπερφυᾶ Προσευχήν, καὶ τὴν Προδοσίαν αὐτήν.

Στίχοι εἰς τὸν Ἱερὸν Νιπτῆρα
Νίπτει Μαθητῶν ἑσπέρας Θεὸς πόδας,
Οὗ ποὺς πατῶν ἦν εἰς Ἐδὲμ δείλης πάλαι.

Εἰς τὸν Μυστικον Δεῖπνον
Διπλοῦς ὁ Δεῖπνος· Πάσχα γὰρ νόμου φέρει,
Καὶ Πάσχα καινόν, Αἷμα. Σῶμα Δεσπότου.

Εἰς τὴν ὑπερφυᾶ Προσευχὴν
Προσεύχῃ· καὶ φόβητρα, θρόμβοι αἱμάτων,
Χριστέ, προσώπου, παραιτούμενος δῆθεν
Θάνατον, ἐχθρὸν ἐν τούτοις φενακίζων.

Εἰς τὴν Προδοσίαν
Τί δεῖ μαχαιρῶν, τί ξύλων λαοπλάνοι,
Πρὸς τὸ θανεῖν πρόθυμον εἰς Κόσμου λύτρον.

- <u>Τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ, τὰ ἅγια καὶ σωτήρια καὶ φρικτὰ Πάθη τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιτελοῦμεν, τοὺς ἐμπτυσμούς, τὰ ῥαπίσματα, τὰ κολαφίσματα, τὰς ὕβρεις, τοὺς γέλωτας, τὴν πορφυρᾶν χλαίναν, τὸν κάλαμον, τὸν σπόγγον, τὸ ὄξος, τοὺς ἥλους, τὴν λόγχην, καὶ πρὸ πάντων, τὸν σταυρόν, καὶ τὸν θάνατον, ἃ δι' ἡμᾶς ἑκὼν κατεδέξατο, ἔτι δὲ καὶ τὴν τοῦ εὐγνώμονος Ληστοῦ, τοῦ συσταυρωθέντος αὐτῷ, σωτήριον ἐν τῷ Σταυρῷ ὁμολογίαν.</u>

Στίχοι εἰς τὴν Σταύρωσιν
Ζῶν εἶ Θεὸς σύ, καὶ νεκρωθεὶς ἐν ξύλῳ,
Ὦ νεκρὲ γυμνέ, καὶ Θεοῦ ζῶντος Λόγε.

Ἕτεροι εἰς τὸν εὐγνώμονα Ληστὴν
Κεκλεισμένας ἤνοιξε τῆς Ἐδὲμ πύλας,
Βαλὼν ὁ Ληστὴς κλεῖδα τό, Μνήσθητί μου.

- <u>Τῷ ἁγίῳ καὶ μεγάλῳ Σαββάτῳ, τὴν θεόσωμον Ταφήν, καὶ τὴν εἰς Ἅιδου Κάθοδον τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἑορτάζομεν δι' ὧν τῆς φθορᾶς τὸ ἡμέτερον γένος ἀνακληθέν, πρὸς αἰωνίαν ζωὴν μεταβέβηκε.</u>

Στίχοι
Μάτην φυλάττεις τὸν τάφον, κουστωδία.
Οὐ γὰρ καθέξει τύμβος αὐτοζωΐαν.

- <u>Τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, αὐτὴν τὴν ζωηφόρον Ἀνάστασιν ἑορτάζομεν τοῦ Κυρίου, καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.</u>

Στίχοι
Χριστὸς κατελθὼν πρὸς πύλην Ἅιδου μόνος
Λαβὼν ἀνῆλθε πολλὰ τῆς νίκης σκῦλα.

**59. <u>Ακάθιστος Ύμνος</u>**
Ἦχος πλ. δ'.
Τὸ προσταχθὲν μυστικῶς λαβὼν ἐν γνώσει,
ἐν τῇ σκηνῇ τοῦ Ἰωσὴφ σπουδῇ ἐπέστη,
ὁ ἀσώματος λέγων τῇ ἀπειρογάμῳ
ὁ κλίνας ἐν καταβάσει τοὺς οὐρανούς,
χωρεῖται ἀναλλοιώτως ὅλος ἐν σοι
Ὃν καὶ βλέπων ἐν μήτρᾳ σου,
λαβόντα δούλου μορφήν,
ἐξίσταμαι κραυγάζων σοι˙
**Χαῖρε Νύμφη ἀνύμφευτε.**

Ἕτερον. Ἦχος ὁ αὐτός.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια,
ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια
ἀναγράφω σοι ἡ πόλις σου, θεοτόκε
ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον,
ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον,
ἵνα κράζω σοί˙ **Χαῖρε Νύμφη ἀνύμφευτε.**

Ἕτερον. Ἦχος ὁ αὐτός.

Οὐ παυόμεθα
κατὰ χρέος ἀνυμνοῦντες σε, θεοτόκε,
καὶ λέγοντες˙ **Χαῖρε ἡ Κεχαριτωμένη.**

ΟΙ ΟΙΚΟΙ

Ἄγγελος πρωτοστάτης, οὐρανόθεν ἐπέμφθη
εἰπεῖν τῇ θεοτόκω τὸ «Χαῖρε»˙
καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ
σωματούμενόν σε θεωρῶν, κύριε,
ἐξίστατο καὶ ἵστατο, κραυγάζων πρὸς αὐτὴν τοιαῦτα
Χαῖρε, δ' ἧς ἡ χαρὰ ἐκλάμψει˙
χαῖρε, δι' ἧς ἡ ἀρὰ ἐκλείψει.
Χαῖρε, τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις˙
χαῖρε, τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις.
Χαῖρε, ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς˙
χαῖρε, βάθος δυσθεώρητον καὶ ἀγγέλων ὀφθαλμοῖς.
Χαῖρε, ὅτι ὑπάρχεις βασιλέως καθέδρα˙
χαῖρε, ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα.
Χαῖρε, ἀστὴρ ἐμφαίνων τὸν ἥλιον˙

χαῖρε, γαστὴρ ἐνθέου σαρκώσεως.
Χαῖρε, δι' ἧς νεουργεῖται ἡ κτίσις˙
χαῖρε, δι' ἧς βρεφουργεῖται ὁ κτίστης.
**Χαῖρε, Νύμφη ἀνύμφευτε.**

Βλέπουσα ἡ Ἁγία, ἑαυτὴν ἐν ἁγνείᾳ,
φησὶ τῷ Γαβριὴλ θαρσαλέως
τὸ παράδοξόν σου τῆς φωνῆς,
δυσπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται
ἀσπόρου γὰρ συλλήψεως, τὴν κύησιν πῶς λέγεις κράζων˙
**Ἀλληλούια.**

Γνῶσιν ἄγνωστον γνῶναι ἡ παρθένος ζητοῦσα
ἐβόησε πρὸς τὸν λειτουργοῦντα˙
ἐκ λαγόνων ἁγνῶν υἱὸν
πῶς ἐστι τεχθῆναι δυνατόν; λέξον μοι.
Πρὸς ἣν ἐκεῖνος ἔφησεν ἐν φόβῳ, πλὴν κραυγάζων οὕτω˙
Χαῖρε, βουλῆς ἀπορρήτου μύστις˙
χαῖρε, σιγῆς δεομένων πίστις.
Χαῖρε, τῶν θαυμάτων Χριστοῦ τὸ προοίμιον˙
χαῖρε, τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον.
Χαῖρε, κλῖμαξ ἐπουράνιε, δι' ἧς κατέβη ὁ Θεός˙
χαῖρε, γέφυρα μετάγουσα ἀπὸ γῆς πρὸς οὐρανόν.
Χαῖρε, τὸ τῶν Ἀγγέλων πολυθρύλητον θαῦμα˙
χαῖρε, τὸ τῶν δαιμόνων πολυθρήνητον τραῦμα.
Χαῖρε, τὸ φῶς ἀρρήτως γεννήσασα˙
χαῖρε, τὸ πῶς μηδένα διδάξασα.
Χαῖρε, σοφῶν ὑπερβαίνουσα γνῶσιν˙
Χαῖρε, πιστῶν καταυγάζουσα φρένας.
**Χαῖρε, Νύμφη Ἀνύμφευτε.**

Δύναμις τοῦ ὑψίστου ἐπεσκίασε τότε
πρὸς σύλληψιν τῇ ἀπειρογάμῳ
καὶ τὴν εὔκαρπον ταύτης νηδὺν
ὡς ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπασι
τοῖς θέλουσι θερίζειν σωτηρίαν ἐν τῷ ψάλλειν οὕτως˙
**Ἀλληλούια.**

Ἔχουσα θεοδόχον, ἡ παρθένος τὴν μήτραν
ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ.
Τὸ δὲ βρέφος ἐκείνης εὐθὺς ἐπιγνὸν
τὸν ταύτης ἀσπασμὸν ἔχαιρε
καὶ ἅλμασιν ὡς ᾄσμασιν ἐβόα πρὸς τὴν θεοτόκον˙

Χαῖρε, βλαστοῦ ἀμάραντου κλῆμα˙
χαῖρε, καρποῦ ἀκήρατου κτῆμα.
Χαῖρε, γεωργὸν γεωργοῦσα φιλάνθρωπον˙
χαῖρε, φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα,
Χαῖρε, ἄρουρα βλαστάνουσα εὐφορίαν οἰκτιρμῶν˙
χαῖρε, τράπεζα βαστάζουσα εὐθηνίαν ἱλασμῶν.
Χαῖρε, ὅτι λειμῶνα τῆς τρυφῆς ἀναθάλλεις˙
χαῖρε, ὅτι λιμένα τῶν ψυχῶν ἑτοιμάζεις.
Χαῖρε, δεκτὸν πρεσβείας θυμίαμα˙
χαῖρε, παντός τοῦ κόσμου ἐξίλασμα.
Χαῖρε, Θεοῦ πρὸς θνητοὺς εὐδοκία˙
χαῖρε, θνητῶν πρὸς Θεὸν παρρησία.
**Χαῖρε, Νύμφη ἀνύμφευτε.**

Ζάλην ἔνδοθεν ἔχων λογισμῶν ἀμφιβόλων
ὁ σώφρων Ἰωσὴφ ἐταράχθη,
πρὸς τὴν ἄγαμόν σε θεωρῶν
καὶ κλεψίγαμον ὑπονοῶν, ἄμεμπτε˙
μαθὼν δέ σου τὴν σύλληψιν, ἐκ πνεύματος ἁγίου ἔφη˙
**Ἀλληλούια.**

Ἤκουσαν ·ἱ ποιμένες τῶν ἀγγέλων ὑμνούντων
τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν˙
καὶ δραμόντες ὡς πρὸς ποιμένα
θεωροῦσι τοῦτον ὡς ἀμνὸν ἄμωμον,
ἐν τῇ γαστρὶ Μαρίας βοσκηθέντα, ἣν ὑμνοῦντες εἶπον˙
Χαῖρε, ἀμνοῦ καὶ ποιμένος μήτηρ˙
χαῖρε, αὐλὴ λογικῶν προβάτων.
Χαῖρε, ἀοράτων ἐχθρῶν ἀμυντήριον˙
χαῖρε, Παραδείσου θυρῶν ἀνοικτήριον.
Χαῖρε, ὅτι τὰ οὐράνια συναγάλλεται τῇ γῇ˙
χαῖρε, ὅτι τὰ ἐπίγεια συγχορεύει οὐρανοῖς.
Χαῖρε, τῶν Ἀποστόλων τὸ ἀσίγητον στόμα˙
χαῖρε, τῶν Ἀθλοφόρων τὸ ἀνίκητον θάρσος.
Χαῖρε, στερρὸν τῆς πίστεως ἔρεισμα˙
χαῖρε, λαμπρὸν τῆς Χάριτος γνώρισμα.
Χαῖρε, δι' ἧς ἐγυμνώθη ὁ ᾅδης˙
χαῖρε, δι' ἧς ἐνεδύθημεν δόξαν.
**Χαῖρε, Νύμφη ἀνύμφευτε.**

Θεοδρόμον ἀστέρα θεωρήσαντες μάγοι,
τῇ τούτου ἠκολούθησαν αἴγλῃ˙
καὶ ὡς λύχνον κρατοῦντες αὐτόν,

δι' αὐτοῦ ἠρεύνων κραταιὸν ἄνακτα˙
καὶ φθάσαντες τὸν ἄφθαστον, ἐχάρησαν αὐτῷ βοῶντες˙
**Ἀλληλούια.**

Ἴδον παῖδες Χαλδαίων ἐν χερσὶ τῆς παρθένου,
τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους˙
καὶ δεσπότην νοοῦντες αὐτόν,
εἰ καὶ δούλου ἔλαβε μορφήν, ἔσπευσαν
τοῖς δώροις θεραπεῦσαι καὶ βοῆσαι τῇ εὐλογημένῃ˙
Χαῖρε, ἀστέρος ἀδύτου μήτηρ˙
χαῖρε, αὐγὴ μυστικῆς ἡμέρας.
Χαῖρε, τῆς ἀπάτης τὴν κάμινον σβέσασα˙
χαῖρε, τῆς τριάδος τοὺς μύστας φωτίζουσα.
Χαῖρε, τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς˙
χαῖρε, κύριον φιλάνθρωπον ἐπιδείξασα Χριστόν.
Χαῖρε, ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας˙
χαῖρε, ἡ τοῦ βορβόρου ῥυομένη τῶν ἔργων.
Χαῖρε πυρὸς προσκύνησιν παύσασα˙
χαῖρε, φλογὸς παθῶν ἀπαλλάττουσα.
Χαῖρε, πιστῶν ὁδηγὲ σωφροσύνης˙
χαῖρε, πασῶν γενεῶν εὐφροσύνη.
**Χαῖρε, Νύμφη ἀνύμφευτε.**

Κήρυκες θεοφόροι γεγονότες οἱ μάγοι
ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα,
ἐκτελέσαντές σου τὸν χρησμὸν
καὶ κηρύξαντές σε τὸν Χριστὸν ἅπασιν,
ἀφέντες τὸν Ἡρώδην ὡς ληρώδη, μὴ εἰδότα ψάλλειν˙
**Ἀλληλούια.**

Λάμψας ἐν τῇ Αἰγύπτῳ, φωτισμὸν ἀληθείας
ἐδίωξας τοῦ ψεύδους τὸ σκότος˙
τὰ γὰρ εἴδωλα ταύτης σωτήρ,
μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν πέπτωκεν˙
οἱ τούτων δὲ ῥυσθέντες ἐβόων πρὸς τὴν θεοτόκον˙
Χαῖρε, ἀνόρθωσις τῶν ἀνθρώπων˙
χαῖρε, κατάπτωσις τῶν δαιμόνων.
Χαῖρε, τὴν ἀπάτης τὴν πλάνην πατήσασα˙
χαῖρε, τῶν εἰδώλων τόν δόλον ἐλέγξασα.
Χαῖρε, θάλασσα ποντίσασα Φαραὼ τὸν νοητόν˙
χαῖρε, πέτρα ἡ ποτίσασα τοὺς διψῶντας τὴν ζωήν.
Χαῖρε, πύρινε στῦλε ὁδηγῶν τοὺς ἐν σκότει˙
χαῖρε, σκέπη τοῦ κόσμου πλατυτέρα νεφέλης.

Χαῖρε, τροφὴ τοῦ μάνα διάδοχε˙
χαῖρε, τρυφῆς ἁγίας διάκονε.
Χαῖρε, ἡ γῆ τῆς ἐπαγγελίας˙
χαῖρε, ἐξ ἧς ρέει μέλι καὶ γάλα.
**Χαῖρε, Νύμφη ἀνύμφευτε.**

Μέλλοντος Συμεῶνος τοῦ παρόντος αἰῶνος
μεθίστασθαι τοῦ ἀπατεῶνος,
ἐπεδόθης ὡς βρέφος αὐτῷ,
ἀλλ' ἐγνώσθης τούτῳ καὶ θεὸς τέλειος
διόπερ ἐξεπλάγη σου τὴν ἄπειρον σοφίαν κράζων˙
**Ἀλληλούια.**

Νέαν ἔδειξε κτίσιν ἐμφανίσας ὁ κτίστης,
ἡμῖν τοῖς ὑπ' αὐτοῦ γενομένοις,
ἐξ ἀσπόρου βλαστήσας γαστρὸς
καὶ φυλάξας ταύτην, ὥσπερ ἦν ἄφθορον,
ἵνα τὸ θαῦμα βλέποντες ὑμνήσωμεν αὐτὴν βοῶντες˙
Χαῖρε, τὸ ἄνθος τῆς ἀφθαρσίας˙
χαῖρε, τὸ στέφος τῆς ἐγκρατείας.
Χαῖρε, ἀναστάσεως τύπον ἐκλάμπουσα˙
χαῖρε, τῶν αγγέλων τὸν βίον ἐμφαίνουσα.
Χαῖρε, δένδρον ἀγλαόκαρπον, ἐξ οὗ τρέφονται πιστοί˙
χαῖρε, ξύλον εὐσκιόφυλλον, ὑφ' οὗ σκέπονται πολλοί.
Χαῖρε, κυοφοροῦσα ὁδηγὸν πλανωμένοις˙
χαῖρε, ἀπογεννῶσα λυτρωτὴν αἰχμαλώτοις.
Χαῖρε, κριτοῦ δικαίου δυσώπησις˙
χαῖρε, πολλῶν πταιόντων συγχώρησις.
Χαῖρε, στολὴ τῶν γυμνῶν παρρησίας˙
χαῖρε, στοργὴ πάντα πόθον νικῶσα.
**Χαῖρε, Νύμφη ἀνύμφευτε.**

Ξένον τόκον ἰδόντες ξενωθῶμεν τοῦ κόσμου,
τὸν νοῦν εἰς οὐρανὸν μεταθέντες˙
διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς θεὸς
ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος,
βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος τοὺς αὐτῷ βοώντας˙
**Ἀλληλούια.**

Ὅλως ἦν ἐν τοῖς κάτω καὶ τῶν ἄνω οὐδ' ὅλως
ἀπῆν ὁ ἀπερίγραπτος Λόγος˙
συγκατάβασις γὰρ θεϊκή,
οὐ μετάβασις τοπικὴ γέγονε,

καὶ τόκος ἐκ Παρθένου θεολήπτου, ἀκουούσης ταῦτα˙
Χαῖρε, Θεοῦ ἀχωρήτου χώρα˙
χαῖρε, σεπτοῦ μυστηρίου θύρα.
Χαῖρε, τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα˙
χαῖρε, τῶν πιστῶν ἀναμφίβολον καύχημα.
Χαῖρε, ὄχημα πανάγιον τοῦ ἐπὶ τῶν Χερουβίμ˙
χαῖρε, οἴκημα πανάριστον τοῦ ἐπὶ τῶν Σεραφίμ.
Χαῖρε, ἡ τἀναντία εἰς ταὐτὸ ἀγαγοῦσα˙
χαῖρε, ἡ παρθενίαν καὶ λοχείαν ζευγνῦσα.
Χαῖρε, δι' ἧς ἐλύθη παράβασις˙
χαῖρε, δι' ἧς ἠνοίχθη παράδεισος.
Χαῖρε, ἡ κλεὶς τῆς Χριστοῦ βασιλείας˙
χαῖρε, ἐλπὶς ἀγαθῶν αἰωνίων.
**Χαῖρε, Νύμφη ἀνύμφευτε.**

Πᾶσα φύσις ἀγγέλων κατεπλάγη τὸ μέγα
τῆς σῆς ἐνανθρωπήσεως ἔργον˙
τὸν ἀπρόσιτον γὰρ ὡς θεὸν
ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον,
ἡμῖν μὲν συνδιάγοντα, ἀκούοντα δὲ παρὰ πάντων˙ [οὕτως]
**Ἀλληλούια.**

Ῥήτορας πολυφθόγγους ὡς ἰχθύας ἀφώνους
ὁρῶμεν ἐπὶ σοί, θεοτόκε,
ἀποροῦσι γὰρ λέγειν τό˙ πῶς
καὶ παρθένος μένεις καὶ τεκεῖν ἴσχυσας˙
ἡμεῖς δὲ τὸ μυστήριον θαυμάζοντες πιστῶς βοῶμεν˙
Χαῖρε, σοφίας Θεοῦ δοχεῖον˙
χαῖρε, προνοίας αὐτοῦ ταμεῖον.
Χαῖρε, φιλοσόφους ἀσόφους δεικνύουσα˙
χαῖρε, τεχνολόγους ἀλόγους ἐλέγχουσα.
Χαῖρε, ὅτι ἐμωράνθησαν οἱ δεινοὶ συζητηταί˙
χαῖρε, ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί.
Χαῖρε, τῶν Ἀθηναίων τὰς πλοκὰς διασπῶσα,
χαῖρε, τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα.
Χαῖρε, βυθοῦ ἀγνοίας ἐξέλκουσα˙
χαῖρε, πολλοὺς ἐν γνώσει φωτίζουσα.
Χαῖρε, ὁλκὰς τῶν θελόντων σωθῆναι˙
χαῖρε, λιμὴν τῶν τοῦ βίου πλωτήρων.
**Χαῖρε, Νύμφη ἀνύμφευτε.**

Σῶσαι θέλων τὸν κόσμον ὁ τῶν ὅλων κοσμήτωρ
πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε˙

καὶ ποιμὴν ὑπάρχων ὡς θεὸς
δι' ἡμᾶς ἐφάνη καθ' ἡμᾶς ἄνθρωπος˙
ὁμοίῳ γὰρ τὸ ὅμοιον καλέσας ὡς θεὸς ἀκούει˙
**Ἀλληλούια.**

Τεῖχος εἶ τῶν παρθένων, θεοτόκε παρθένε,
καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων˙
ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆ
κατεσκεύασέ σε ποιητής, ἄχραντε,
οἰκήσας ἐν τῇ μήτρα σου καὶ πάντας σοι προσφωνεῖν διδάξας˙
Χαῖρε, ἡ στήλη τῆς παρθενίας˙
χαῖρε, ἡ πύλη τῆς σωτήριας.
Χαῖρε, ἀρχηγὲ νοητῆς ἀναπλάσεως˙
χαῖρε, χορηγὲ θεϊκῆς ἀγαθότητος.
Χαῖρε, σὺ γὰρ ἀνεγέννησας τοὺς συλληφθέντας αἰσχρῶς˙
χαῖρε, σὺ γὰρ ἐνουθέτησας τοὺς συληθέντας τὸν νοῦν.
Χαῖρε, ἡ τὸν φθορέα τῶν φρενῶν καταργοῦσα˙
χαῖρε, ἡ τὸν σπορέα τῆς ἁγνείας τεκοῦσα.
Χαῖρε, παστὰς ἀσπόρου νυμφεύσεως˙
χαῖρε, πιστοὺς κυρίῳ ἁρμόζουσα.
Χαῖρε, καλὴ κουροτρόφε παρθένων˙
χαῖρε, ψυχῶν νυμφοστόλε ἁγίων.
**Χαῖρε, Νύμφη ἀνύμφευτε.**

Ὕμνος ἅπας ἡττᾶται συνεκτείνεσθαι σπεύδων
τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου˙
ἰσαρίθμους γὰρ τῇ ψάμμῳ ᾠδὰς
ἂν προσφέρωμέν σοι, βασιλεῦ ἅγιε,
οὐδὲν τελοῦμεν ἄξιον, ὧν δέδωκας ἡμῖν [τοῖς σοὶ] βοῶσιν˙
**Ἀλληλούια.**

Φωτοδόχον λαμπάδα τοῖς ἐν σκότει φανεῖσαν
ὁρῶμεν τὴν ἁγίαν παρθένον˙
τὸ γὰρ ἄυλον ἅπτουσα φῶς
ὁδηγεῖ πρὸς γνῶσιν θεϊκὴν ἅπαντας
αὐγῇ τὸν νοῦν φωτίζουσα, κραυγῇ δὲ τιμωμένη ταύτῃ˙
Χαῖρε, ἀκτὶς νοητοῦ ἡλίου˙
χαῖρε, βολὶς τοῦ ἀδύτου φέγγους.
Χαῖρε, ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα˙
χαῖρε, ὡς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα.
Χαῖρε, ὅτι τὸν πολύφωτον ἀνατέλλεις φωτισμόν˙
Χαῖρε, ὅτι τὸν πολύρρυτον ἀναβλύζεις ποταμόν.
Χαῖρε, τῆς κολυμβήθρας ζωγραφοῦσα τὸν τύπον˙

χαῖρε, τῆς ἁμαρτίας ἀναιροῦσα τὸν ῥύπον.
Χαῖρε, λουτὴρ ἔκπλυνων συνείδησιν˙
χαῖρε, κρατὴρ κιρνῶν ἀγαλλίασιν.
Χαῖρε, ὀσμὴ τῆς Χριστοῦ εὐωδίας˙
χαῖρε, ζωὴ μυστικῆς εὐωχίας.
**Χαῖρε, Νύμφη ἀνύμφευτε.**

Χάριν δοῦναι θελήσας ὀφλημάτων ἀρχαίων
ὁ πάντων χρεωλύτης ἀνθρώπων,
ἐπεδήμησε δι᾽ ἑαυτοῦ
πρὸς τοὺς ἀποδήμους τῆς αὐτοῦ χάριτος˙
καὶ σχίσας τὸ χειρόγραφον ἀκούει παρὰ πάντων οὕτως˙
**Ἀλληλούια.**

Ψάλλοντές σου τὸν τόκον ἀνυμνοῦμέν σε πάντες
ὡς ἔμψυχον ναόν, θεοτόκε˙
ἐν τῇ σῇ γὰρ οἰκήσας γαστρὶ
ὁ συνέχων πάντα τῇ χειρὶ κύριος,
ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾷν σοι πάντας˙
Χαῖρε, σκηνὴ τοῦ Θεοῦ καὶ Λόγου˙
χαῖρε, ἁγία ἁγίων μείζων.
Χαῖρε, κιβωτὲ χρυσωθεῖσα τῷ πνεύματι˙
χαῖρε, θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε.
Χαῖρε, τίμιον διάδημα βασιλέων εὐσεβῶν˙
χαῖρε, καύχημα σεβάσμιον ἱερέων εὐλαβῶν.
Χαῖρε, τῆς ἐκκλησίας ὁ ἀσάλευτος πύργος˙
χαῖρε, τῆς Βασιλείας τὸ ἀπόρθητον τεῖχος.
Χαῖρε, δι' ἧς ἐγείρονται τρόπαια˙
χαῖρε, δι' ἧς ἐχθροὶ καταπίπτουσι.
Χαῖρε, χρωτὸς τοῦ ἐμοῦ θεραπεία˙
χαῖρε, ψυχῆς τῆς ἐμῆς σωτηρία.
**Χαῖρε, Νύμφη ἀνύμφευτε.**

Ὦ πανύμνητε μῆτερ, ἡ τεκοῦσα τὸν πάντων
ἁγίων ἁγιώτατον λόγον,
δεξαμένη γὰρ τὴν νῦν προσφοράν,
ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας
καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως τοὺς συμβοῶντας
**Ἀλληλούια.**

## 60. <u>Ἕτερον κοντάκιον εἰς τὴν ἁγίαν γέννησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, φέρον ἀκροστιχίδα τήνδε·τοῦ ταπεινοῦ Ῥωμανοῦ</u>

ἦχος πλ. β′, ἰδιόμελον.
Προοίμιον
Ὁ πρὸ ἑωσφόρου   ἐκ Πατρὸς ἀμήτωρ γεννηθεὶς
ἐπὶ γῆς ἀπάτωρ   ἐσαρκώθη σήμερον ἐκ σοῦ·
ὅθεν ἀστὴρ   εὐαγγελίζεται μάγοις,
ἄγγελοι δὲ   μετὰ ποιμένων ὑμνοῦσι
τὸν ἄσπορον τόκον σου,   ἡ κεχαριτωμένη.

ΟΙ ΟΙΚΟΙ

(1) Τὸν ἀγεώργητον βότρυν   βλαστήσασα ἡ ἄμπελος
ὡς ἐπὶ κλάδων ἀγκάλαις   ἐβάσταζε καὶ ἔλεγεν·
«Σὺ καρπός μου,   σὺ ζωή μου,
<σὺ> ἀφ′ οὗ ἔγνων   ὅτι καὶ ὃ ἤμην εἰμί,   σύ μου Θεός,
τὴν σφραγῖδα τῆς παρθενίας μου   ὁρῶσα ἀκατάλυτον,
κηρύττω σε ἄτρεπτον   Λόγον σάρκα γενόμενον.
Οὐκ οἶδα σποράν,   οἶδά σε λύτην τῆς φθορᾶς·
ἁγνὴ γάρ εἰμι,   σοῦ προελθόντος ἐξ ἐμοῦ·
ὡς γὰρ εὗρες ἔλιπες   μήτραν ἐμήν,
φυλάξας σώαν αὐτήν·   διὰ τοῦτο συγχορεύει
πᾶσα κτίσις βοῶσά μοι·   Ἡ κεχαριτωμένη.

(2) Οὐκ ἀθετῶ σου τὴν χάριν   ἧς ἔχω πεῖραν, δέσποτα·
οὐκ ἀμαυρῶ τὴν ἀξίαν   ἧς ἔτυχον τεκοῦσά σε·
τοῦ γὰρ κόσμου   βασιλεύω·
ἐπειδὴ κράτος   τὸ σὸν ἐβάστασα γαστρί,   πάντων κρατῶ·
μετεποίησας τὴν πτωχείαν μου   τῇ συγκαταβάσει σου,
σαυτὸν ἐταπείνωσας   καὶ τὸ γένος μου ὕψωσας.
Εὐφράνθητέ μοι   νῦν ἅμα, γῆ καὶ οὐρανός·
τὸν γὰρ ποιητὴν   ὑμῶν βαστάζω ἐν χερσί·
γηγενεῖς, ἀπόθεσθε   τὰ λυπηρά,
θεώμενοι τὴν χαρὰν   ἣν ἐβλάστησα ἐκ κόλπων
ἀμιάντων, καὶ ἤκουσα·   Ἡ κεχαριτωμένη.»

(3) Ὑμνολογούσης δὲ τότε   Μαρίας ὃν ἐγέννησε,
κολακευούσης δὲ βρέφος   ὃ μόνη ἀπεκύησεν,
ἤκουσεν ἡ   ἐν ὀδύναις
τεκοῦσα τέκνα,   καὶ γηθομένη τῷ Ἀδὰμ   Εὔα βοᾷ·
«Τίς ἐν τοῖς ὠσί μου νῦν ἤχησεν   ἐκεῖνο ὃ ἤλπιζον;
Παρθένον τὴν τίκτουσαν   τῆς κατάρας τὴν λύτρωσιν,
ἧς μόνη φωνὴ   ἔλυσέ μου τὰ δυσχερῆ
καὶ ταύτης γονὴ   ἔτρωσε τὸν τρώσαντά με·

ταύτην ἣν προέγραψεν υἱὸς Ἀμώς,
ἡ ῥάβδος τοῦ Ἰεσσαὶ ἡ βλαστήσασά μοι κλάδον
οὗ φαγοῦσα οὐ θνήξομαι, ἡ κεχαριτωμένη.

(4) Τῆς χελιδόνος ἀκούσας κατ᾽ ὄρθρον κελαδούσης μοι,
τὸν ἰσοθάνατον ὕπνον, Ἀδάμ, ἀφεὶς ἀνάστηθι·
ἄκουσόν μου τῆς συζύγου·
ἐγὼ ἡ πάλαι πτῶμα προξενήσασα βροτοῖς νῦν ἀνιστῶ.
Κατανόησον τὰ θαυμάσια, ἰδὲ τὴν ἀπείρανδρον
διὰ τοῦ γεννήματος ἰωμένην τοῦ τραύματος·
ἐμὲ γάρ ποτε εἷλεν ὁ ὄφις καὶ σκιρτᾷ,
ἀλλ᾽ ἄρτι ὁρῶν τοὺς ἐξ ἡμῶν φεύγει συρτῶς·
κατ᾽ ἐμοῦ μὲν ὕψωσε τὴν κεφαλήν,
νυνὶ δὲ ταπεινωθεὶς κολακεύει, οὐ χλευάζει,
δειλιῶν ὃν ἐγέννησεν ἡ κεχαριτωμένη.»

(5) Ἀδὰμ ἀκούσας τοὺς λόγους οὓς ὕφανεν ἡ σύζυγος,
ἐκ τῶν βλεφάρων τὸ βάρος εὐθέως ἀποθέμενος
ἀνανεύει ὡς ἐξ ὕπνου
καὶ οὖς ἀνοίξας ὃ ἔφραξε παρακοὴ οὕτως βοᾷ·
«Γλυκεροῦ ἀκούω κελαδήματος, τερπνοῦ μινυρίσματος,
ἀλλὰ τοῦ μελίζοντος νῦν ὁ φθόγγος οὐ τέρπει με·
γυνὴ γάρ ἐστιν, ἧς καὶ φοβοῦμαι τὴν φωνήν·
ἐν πείρᾳ εἰμί, ὅθεν τὸ θῆλυ δειλιῶ·
ὁ μὲν ἦχος θέλγει με ὡς λιγυρός,
τὸ ὄργανον δὲ δονεῖ μὴ ὡς πάλαι με πλανήσῃ
ἐπιφέρουσα ὄνειδος ἡ κεχαριτωμένη.

(6) —Πληροφορήθητι, ἄνερ, τοῖς λόγοις τῆς συζύγου σου·
οὐ γὰρ εὑρήσεις με πάλιν πικρά σοι συμβουλεύουσαν·
τὰ ἀρχαῖα γὰρ παρῆλθε
καὶ νέα πάντα δείκνυσιν ὁ τῆς Μαριὰμ γόνος Χριστός.
Τούτου τῆς νοτίδος ὀσφράνθητι καὶ εὐθέως ἐξάνθησον,
ὡς στάχυς ὀρθώθητι· τὸ γὰρ ἔαρ σε ἔφθασεν,
Ἰησοῦς Χριστὸς πνέει ὡς αὔρα γλυκερά·
τὸν καύσωνα ᾧ ἦς ἀποφυγὼν τὸν αὐστηρόν,
δεῦρο ἀκολούθει μοι πρὸς Μαριάμ,
καὶ αὐτῆς πρὸ τῶν ποδῶν ἐρριμένους θεωροῦσα
εὐθέως σπλαγχνισθήσεται ἡ κεχαριτωμένη.

(7) —Ἔγνων, ὦ γύναι, τὸ ἔαρ καὶ τῆς τρυφῆς ὀσφραίνομαι
ἧς ἐξεπέσαμεν πάλαι· καὶ γὰρ ὁρῶ παράδεισον
νέον, ἄλλον, τὴν παρθένον

φέρουσαν κόλποις    αὐτὸ τὸ ξύλον τῆς ζωῆς    ὅπερ ποτὲ
Χερουβὶμ ἐτήρει τὸ ἅγιον    πρὸς τὸ μὴ ψαῦσαι <ἐ>μέ·
τοῦτο τοίνυν ἄψαυστον    ἐγὼ βλέπων φυόμενον,
ᾐσθόμην πνοῆς,    σύζυγε, τῆς ζωοποιοῦ
τῆς κόνιν ἐμὲ    ὄντα καὶ ἄψυχον πηλὸν
ποιησάσης ἔμψυχον·    ταύτης νυνὶ
τῇ εὐοσμίᾳ ῥωσθείς,    πορευθῶ πρὸς τὴν ἀνθοῦσαν
τὸν καρπὸν τῆς ζωῆς ἡμῶν,    τὴν κεχαριτωμένην.

(8) Ἰδού εἰμι πρὸ ποδῶν σου,    παρθένε, μῆτερ ἄμωμε,
καὶ δι' ἐμοῦ πᾶν τὸ γένος    τοῖς ἴχνεσί σου πρόσκειται.
Μὴ παρίδῃς    τοὺς τεκόντας,
ἐπειδὴ τόκος    ὁ σὸς ἀνεγέννησε νῦν    τοὺς ἐν φθορᾷ·
τὸν ἐν Ἅιδῃ παλαιωθέντα με,    Ἀδὰμ τὸν πρωτόπλαστον
οἰκτείρησον, θύγατερ,    τὸν πατέρα σου στένοντα·
τὰ δάκρυά μου    βλέπουσα, σπλαγχνίσθητί μοι
καὶ τοῖς ὀδυρμοῖς    κλῖνον τὸ οὖς σου εὐμενῶς·
τὰ δὲ ῥάκη βλέπεις μου    ἅπερ φορῶ,
ἃ ὄφις ὕφανέ μοι·    ἄμειψόν μου τὴν πενίαν
ἐνώπιον οὗ ἔτεκες,    ἡ κεχαριτωμένη.

(9) —Ναί, ἡ ἐλπὶς τῆς ψυχῆς μου,    κἀμοῦ τῆς Εὔας ἄκουσον
καὶ τῆς ἐν λύπαις τεκούσης    τὸ αἶσχος ἀποσόβησον,
ὡς ἰδοῦσα    ὅτι πλέον
ἐγὼ ἡ τλήμων    τοῖς ὀδυρμοῖς τοῦ Ἀδὰμ    τήκω τὴν ψυχήν·
τῆς τρυφῆς γὰρ οὗτος μνησκόμενος    ἐμοὶ ἐπανίσταται
κραυγάζων ὡς· Εἴθε μὴ    τῆς πλευρᾶς μου ἐβλάστησας·
καλὸν ἦν μή σε    λαβεῖν εἰς βοήθειάν μου·
οὐκ ἔπιπτον γὰρ    νυνὶ εἰς τοῦτον τὸν βυθόν.
Καὶ λοιπὸν μὴ φέρουσα    τοὺς ἐλεγμοὺς
μηδὲ τὸν ὀνειδισμόν,    κατακάμπτω τὸν αὐχένα
ἕως οὗ ἀνορθώσῃς με,    ἡ κεχαριτωμένη.»

(10) Οἱ ὀφθαλμοὶ δὲ Μαρίας    τὴν Εὔαν θεωρήσαντες
καὶ τὸν Ἀδὰμ κατιδόντες    δακρύειν κατηπείγοντο·
ὅμως στέγει    καὶ σπουδάζει
νικᾶν τὴν φύσιν    ἡ παρὰ φύσιν τὸν Χριστὸν    σχοῦσα υἱόν·
ἀλλὰ τὰ σπλάγχνα ἐταράττετο    γονεῦσι συμπάσχουσα·
τῷ γὰρ ἐλεήμονι    μήτηρ ἔπρεπεν εὔσπλαγχνος.
Διὸ πρὸς αὐτούς·    «Παύσασθε τῶν θρήνων ὑμῶν,
καὶ πρέσβις ὑμῖν    γίνομαι πρὸς τὸν ἐξ ἐμοῦ·
ὑμεῖς δὲ ἀπώσασθε    τὴν συμφοράν,
τεκούσης μου τὴν χαράν·    διὰ τοῦτο τὰ τῆς λύπης

ἐκπορθήσουσα ἥκω νῦν ἡ κεχαριτωμένη.

(11) Υἱὸν οἰκτίρμονα ἔχω καὶ λίαν ἐλεήμονα,
ἐξ ὧν τῇ πείρᾳ ἐπέγνων· προσέχω ὅπως φείδεται·
πῦρ ὑπάρχων, ᾤκησέ με
τὴν ἀκανθώδη καὶ οὐ κατέφλεξεν ἐμὲ τὴν ταπεινήν·
ὡς πατὴρ οἰκτείρει υἱοὺς αὐτοῦ, οἰκτείρει ὁ γόνος μου
τοὺς φοβουμένους αὐτόν, ὡς Δαυὶδ προεφήτευσε.
Τὰ δάκρυα οὖν στείλαντες, ἐκδέξασθέ με
μεσῖτιν ὑμῶν γενέσθαι πρὸς τὸν ἐξ ἐμοῦ·
χαρᾶς γὰρ παραίτιος ὁ γεννηθεὶς
ὁ πρὸ αἰώνων Θεός· ἡσυχάσατε ἀλύπως,
πρὸς αὐτὸν γὰρ εἰσέρχομαι ἡ κεχαριτωμένη.»

(12) Ῥήμασι τούτοις Μαρία καὶ ἄλλοις δὲ τοῖς πλείοσι
παρακαλέσασα Εὔαν καὶ ταύτης τὸν ὁμόζυγα,
εἰσελθοῦσα πρὸς τὴν φάτνην,
αὐχένα κάμπτει καὶ δυσωποῦσα τὸν υἱὸν οὕτω φησί·
«Ἐπειδή με, ὦ τέκνον, ὕψωσας τῇ συγκαταβάσει σου,
τὸ πενιχρὸν γένος μου δι᾿ ἐμοῦ νῦν σοῦ δέεται.
Ἀδὰμ γὰρ πρός με ἤλυθε στενάζων πικρῶς·
Εὔα δὲ αὐτῷ ὀδυνωμένη συνθρηνεῖ·
δὲ τούτων αἴτιος ὄφις ἐστὶν
τιμῆς γυμνώσας αὐτούς· διὰ τοῦτο σκεπασθῆναι
ἐξαιτοῦσι βοῶντές μοι· Ἡ κεχαριτωμένη.»

(13) Ὡς δὲ τοιαύτας δεήσεις προσήγαγεν ἡ ἄμωμος
Θεῷ κειμένῳ ἐν φάτνῃ, λαβὼν εὐθὺς ὑπέγραφεν·
ἑρμηνεύων τὰ ἐσχάτως,
φησίν· «Ὦ μῆτερ, καὶ διὰ σὲ καὶ διὰ σοῦ σῴζω αὐτούς.
Εἰ μὴ σῶσαι τούτους ἠθέλησα, οὐκ ἂν ἐν σοὶ ᾤκησα,
οὐκ ἂν ἐκ σοῦ ἔλαμψα, οὐκ ἂν μήτηρ μου ἤκουσας·
τὴν φάτνην ἐγὼ διὰ τὸ γένος σου οἰκῶ,
μαζῶν δὲ τῶν σῶν βουλόμενος νῦν γαλουχῶ,
ἐν ἀγκάλαις φέρεις με χάριν αὐτῶν·
ὃν οὐχ ὁρᾷ Χερουβὶμ ἰδοὺ βλέπεις καὶ βαστάζεις
καὶ ὡς υἱὸν κολακεύεις με, ἡ κεχαριτωμένη.

(14) Μητέρα σε ἐκτησάμην ὁ πλαστουργὸς τῆς κτίσεως
καὶ ὥσπερ βρέφος αὐξάνω ὁ ἐκ τελείου τέλειος·
τοῖς σπαργάνοις ἐνειλοῦμαι
διὰ τοὺς πάλαι χιτῶνας δερματίνους φορέσαντας,
καὶ τὸ σπήλαιόν μοι ἐράσμιον διὰ τοὺς μισήσαντας

τρυφὴν καὶ παράδεισον    καὶ φθορὰν ἀγαπήσαντας·
παρέβησάν μου    τὴν ζωηφόρον ἐντολήν·
κατέβην εἰς γῆν    ἵνα ἔχουσι τὴν ζωήν.
Ἂν δὲ καὶ τὸ ἕτερον    μάθῃς, σεμνή,
ὃ μέλλω δρᾶν δι᾽ αὐτούς,    μετὰ πάντων τῶν στοιχείων
σὲ δονεῖ τὸ γενόμενον,    ἡ κεχαριτωμένη.»

(15) Ἀλλὰ τοιαῦτα εἰπόντος    τοῦ πᾶσαν γλῶσσαν πλάσαντος
καὶ τῆς μητρὸς τῇ δεήσει    ταχέως ὑπογράψαντος,
ἔτι εἶπεν    ἡ Μαρία·
«Ἐὰν λαλήσω,    μὴ ὀργισθῇς μοι τῇ πηλῷ,    ὦ πλαστουργέ·
ὡς πρὸς τέκνον παρρησιάσομαι·    θαρρῶ ὡς σὲ γεννήσασα·
σύ μοι γὰρ τῷ τόκῳ σου    πᾶσαν καύχησιν δέδωκας.
Ὃ μέλλεις τελεῖν    τί ἐστι θέλω νῦν μαθεῖν·
μὴ κρύψῃς ἐμοὶ    τὴν ἀπ᾽ αἰῶνός σου βουλήν·
ὅλον σε ἐγέννησα·    φράσον τὸν νοῦν
ὃν ἔχεις περὶ ἡμᾶς,    ἵνα μάθω καὶ ἐκ τούτου
ὅσης ἔτυχον χάριτος    ἡ κεχαριτωμένη.

(16) —Νικῶμαι διὰ τὸν πόθον    ὃν ἔχω πρὸς τὸν ἄνθρωπον»,
ὁ ποιητὴς ἀπεκρίθη.    «Ἐγώ, δούλη καὶ μῆτερ μου,
οὐ λυπῶ σε·    γνωριῶ σοι
ἃ θέλω πράττειν    καὶ θεραπεύσω σου ψυχήν,    ὦ Μαριάμ.
Τὸν ἐν ταῖς χερσί σου φερόμενον    τὰς χεῖρας ἡλούμενον
μετὰ μικρὸν ὄψει με,    ὅτι στέργω τὸ γένος σου·
ὃν σὺ γαλουχεῖς    ἄλλοι ποτίσουσι χολήν·
ὃν καταφιλεῖς    μέλλει πληροῦσθαι ἐμπτυσμῶν·
ὃν ζωὴν ἐκάλεσας,    ἔχεις ἰδεῖν
κρεμάμενον ἐν σταυρῷ    καὶ δακρύσεις ὡς θανόντα,
ἀλλ᾽ ἀσπάσει με ἀναστάντα,    ἡ κεχαριτωμένη.

(17) Ὅλων δὲ τούτων ἐν πείρᾳ    βουλήσει μου γενήσομαι,
καὶ πάντων τούτων αἰτία    διάθεσις γενήσεται
ἣν ἐκ πάλαι    ἕως ἄρτι
πρὸς τοὺς ἀνθρώπους    ἐπεδειξάμην ὡς Θεός,    σῶσαι ζητῶν.»
Μαριὰμ δὲ τούτων ὡς ἤκουσεν    ἐκ βάθους ἐστέναξε
βοῶσα· «Ὦ βότρυς μου,    μὴ ἐκθλίψωσί σε ἄνομοι·
βλαστήσαντός σου    μὴ ὄψωμαι τέκνου σφαγήν.»
Ὁ δὲ πρὸς αὐτὴν    ἔφησεν οὕτως εἰπών·
«Παῦσαι, μῆτερ, κλαίουσα    ὃ ἀγνοεῖς·
ἐὰν γὰρ μὴ τελεσθῇ,    ἀπολοῦνται οὗτοι πάντες
ὑπὲρ ὧν ἱκετεύεις με,    ἡ κεχαριτωμένη.

(18) Ὕπνον δὲ νόμισον εἶναι   τὸν θάνατόν μου, μῆτερ μου·
τρεῖς γὰρ ἡμέρας τελέσας   ἐν μνήματι θελήματι,
μετὰ ταῦτα   σοὶ ὁρῶμαι
ἀναβιώσας   καὶ ἀνακαινίσας τὴν γῆν   καὶ τοὺς ἐκ γῆς.
Ταῦτα, μῆτερ, πᾶσιν ἀνάγγειλον,   ἐν τούτοις πλουτίσθητι,
ἐκ τούτων βασίλευσον,   διὰ τούτων εὐφράνθητι.»
Ἐξῆλθεν εὐθὺς   ἡ Μαριὰμ πρὸς τὸν Ἀδάμ,
εὐαγγελισμὸν   φέρουσα τῇ Εὔᾳ φησί·
«Τέως ἡσυχάσατε   ὅσον μικρόν·
ἠκούσατε γὰρ αὐτοῦ   ἅπερ εἶπεν ὑπομεῖναι
δι᾽ ὑμᾶς τοὺς βοῶντάς μοι·   Ἡ κεχαριτωμένη.»

## 61. <u>**Μηνὶ δεκεμβρίῳ κε′, κοντάκιον τῆς Χριστοῦ γεννήσεως, ἦχος γ′, φέρον ἀκροστιχίδα: τοῦ ταπεινοῦ Ῥωμανοῦ ὕμνος**</u>

Προοίμιον

Ἡ παρθένος σήμερον   τὸν ὑπερούσιον τίκτει,
  καὶ ἡ γῆ τὸ σπήλαιον   τῷ ἀπροσίτῳ προσάγει·
 ἄγγελοι μετὰ ποιμένων   δοξολογοῦσι,
  μάγοι δὲ μετὰ ἀστέρος   ὁδοιποροῦσι·
 δι᾽ ἡμᾶς γὰρ   ἐγεννήθη
  παιδίον νέον,   ὁ πρὸ αἰώνων Θεός.

ΟΙ ΟΙΚΟΙ

(1.) Τὴν Ἐδὲμ Βηθλεὲμ   ἤνοιξε, δεῦτε ἴδωμεν·
 τὴν τρυφὴν ἐν κρυφῇ   ηὕραμεν, δεῦτε λάβωμεν
 τὰ τοῦ παραδείσου   ἐντὸς τοῦ σπηλαίου·
ἐκεῖ ἐφάνη   ῥίζα ἀπότιστος   βλαστάνουσα ἄφεσιν,
 ἐκεῖ ηὑρέθη   φρέαρ ἀνόρυκτον,
 οὗ πιεῖν Δαυὶδ   πρὶν ἐπεθύμησεν·
ἐκεῖ παρθένος   τεκοῦσα βρέφος
 τὴν δίψαν ἔπαυσεν εὐθὺς   τὴν τοῦ Ἀδὰμ καὶ τοῦ Δαυίδ·
διὰ τοῦτο πρὸς τοῦτο   ἐπειχθῶμεν ποῦ ἐτέχθη
 παιδίον νέον,   ὁ πρὸ αἰώνων Θεός.

(2.) Ὁ πατὴρ τῆς μητρὸς   γνώμῃ υἱὸς ἐγένετο,
 ὁ σωτὴρ τῶν βρεφῶν   βρέφος ἐν φάτνῃ ἔκειτο·
 ὃν κατανοοῦσα   φησὶν ἡ τεκοῦσα·
«Εἰπέ μοι, τέκνον,   πῶς ἐνεσπάρης μοι   ἢ πῶς ἐνεφύης μοι·
 ὁρῶ σε, σπλάγχνον,   καὶ καταπλήττομαι,
 ὅτι γαλουχῶ   καὶ οὐ νενύμφευμαι·

καὶ σὲ μὲν βλέπω    μετὰ σπαργάνων,
τὴν παρθενίαν δὲ ἀκμὴν    ἐσφραγισμένην θεωρῶ·
σὺ γὰρ ταύτην φυλάξας    ἐγεννήθης εὐδοκήσας
παιδίον νέον,    ὁ πρὸ αἰώνων Θεός.

(3.) Ὑψηλὲ βασιλεῦ,    τί σοι καὶ τοῖς πτωχεύσασι;
Ποιητὰ οὐρανοῦ,    τί πρὸς γηΐνους ἤλυθας;
Σπηλαίου ἠράσθης    ἢ φάτνῃ ἐτέρφθης;
Ἰδοὺ οὐκ ἔστι    τόπος τῇ δούλῃ σου    ἐν τῷ καταλύματι·
οὐ λέγω τόπον,    ἀλλ' οὐδὲ σπήλαιον,
ὅτι καὶ αὐτὸ    τοῦτο ἀλλότριον·
καὶ τῇ μὲν Σάρρᾳ    τεκούσῃ βρέφος
ἐδόθη κλῆρος γῆς πολλῆς,    ἐμοὶ δὲ οὐδὲ φωλεός·
ἐχρησάμην τὸ ἄντρον    ὃ κατῴκησας βουλήσει,
παιδίον νέον,    ὁ πρὸ αἰώνων Θεός.»

(4.) Τὰ τοιαῦτα ῥητὰ    ἐν ἀπορρήτῳ λέγουσα
καὶ τὸν τῶν ἀφανῶν    γνώστην καθικετεύουσα,
ἀκούει τῶν μάγων    τὸ βρέφος ζητούντων·
εὐθὺς δὲ τούτοις·    «Τίνες ὑπάρχετε;»    ἡ κόρη ἐβόησεν·
οἱ δὲ πρὸς ταύτην·    «Σὺ γὰρ τίς πέφυκας,
ὅτι τὸν τοιοῦτον ἀπεκύησας;
Τίς ὁ πατήρ σου,    τίς ἡ τεκοῦσα,
ὅτι ἀπάτορος υἱοῦ    ἐγένου μήτηρ καὶ τροφός;
Οὗ τὸ ἄστρον ἰδόντες    συνήκαμεν ὅτι ὤφθη
παιδίον νέον,    ὁ πρὸ αἰώνων Θεός.

(5.) Ἀκριβῶς γὰρ ἡμῖν    ὁ Βαλαὰμ παρέθετο
τῶν ῥημάτων τὸν νοῦν    ὧνπερ προεμαντεύσατο,
εἰπὼν ὅτι μέλλει    ἀστὴρ ἀνατέλλειν,
ἀστὴρ σβεννύων    πάντα μαντεύματα    καὶ τὰ οἰωνίσματα·
ἀστὴρ ἐκλύων    παραβολὰς σοφῶν,
ῥήσεις τε αὐτῶν    καὶ τὰ αἰνίγματα·
ἀστὴρ ἀστέρος    τοῦ φαινομένου
ὑπερφαιδρότερος πολύ,    ὡς πάντων ἄστρων ποιητής,
περὶ οὗ προεγράφη·    ἐξ Ἰακὼβ ἀνατέλλει
παιδίον νέον,    ὁ πρὸ αἰώνων Θεός.»

(6.) Παραδόξων ῥητῶν    ἡ Μαριὰμ ὡς ἤκουσε,
τῷ ἐκ σπλάγχνων αὐτῆς    κύψασα προσεκύνησε
καὶ κλαίουσα εἶπε·    «Μεγάλα μοι, τέκνον,
μεγάλα πάντα    ὅσα ἐποίησας    μετὰ τῆς πτωχείας μου·
ἰδοὺ γὰρ μάγοι    ἔξω ζητοῦσί σε·

τῶν ἀνατολῶν  οἱ βασιλεύοντες
τὸ πρόσωπόν σου  ἐπιζητοῦσι,
καὶ λιτανεύουσιν ἰδεῖν  οἱ πλούσιοι τοῦ σοῦ λαοῦ·
ὁ λαός σου γὰρ ὄντως  εἰσὶν οὗτοι οἷς ἐγνώσθης,
παιδίον νέον,  ὁ πρὸ αἰώνων Θεός.

(7.) Ἐπειδὴ οὖν λαὸς  σός ἐστι, τέκνον, κέλευσον
ὑπὸ σκέπην τὴν σὴν  γένωνται, ἵνα ἴδωσι
πενίαν πλουσίαν,  πτωχείαν τιμίαν·
αὐτόν σε δόξαν  ἔχω καὶ καύχημα·  διὸ οὐκ αἰσχύνομαι·
αὐτὸς εἶ χάρις  καὶ ἡ εὐπρέπεια
τῆς σκηνῆς κἀμοῦ·  νεῦσον εἰσέλθωσιν·
οὐδέν μοι μέλει  τῆς εὐτελείας·
ὡς θησαυρὸν γὰρ σὲ κρατῶ,  ὃν βασιλεῖς ἦλθον ἰδεῖν,
βασιλέων καὶ μάγων  ἐγνωκότων ὅτι ὤφθης,
παιδίον νέον,  ὁ πρὸ αἰώνων Θεός.»

(8.) Ἰησοῦς ὁ Χριστὸς  ὄντως τε καὶ Θεὸς ἡμῶν
τῶν φρενῶν ἀφανῶς  ἥψατο τῆς μητρὸς αὐτοῦ,
«Εἰσάγαγε, λέγων,  οὓς ἤγαγον λόγῳ·
ἐμὸς γὰρ λόγος  οὗτος ὃς ἔλαμψε  τοῖς ἐπιζητοῦσί με·
ἀστὴρ μέν ἐστιν  πρὸς τὸ φαινόμενον,
δύναμις δέ τις  πρὸς τὸ νοούμενον·
συνῆλθε μάγοις  ὡς λειτουργῶν μοι,
καὶ ἔτι ἵσταται πληρῶν  τὴν διακονίαν αὐτοῦ
καὶ ἀκτῖσι δεικνύων  τὸν τόπον ὅπου ἐτέχθη
παιδίον νέον,  ὁ πρὸ αἰώνων Θεός.

(9.) Νῦν οὖν δέξαι, σεμνή,  δέξαι τοὺς δεξαμένους με·
ἐν αὐτοῖς γὰρ εἰμὶ  ὥσπερ ἐν ταῖς ἀγκάλαις σου·
καὶ σοῦ οὐκ ἀπέστην  κἀκείνοις συνῆλθον.»
Ἡ δὲ ἀνοίγει  θύραν καὶ δέχεται  τῶν μάγων τὸ σύστημα·
ἀνοίγει θύραν  ἡ ἀπαράνοικτος
πύλη, ἣν Χριστὸς  μόνος διώδευσεν·
ἀνοίγει θύραν  ἡ ἀνοιχθεῖσα
καὶ μὴ κλαπεῖσα μηδαμῶς  τὸν τῆς ἁγνείας θησαυρόν·
αὐτὴ ἤνοιξε θύραν,  ἀφ’ ἧς ἐγεννήθη θύρα,
παιδίον νέον,  ὁ πρὸ αἰώνων Θεός.

(10.) Οἱ δὲ μάγοι εὐθὺς  ὥρμησαν εἰς τὸν θάλαμον,
καὶ ἰδόντες Χριστὸν  ἔφριξαν, ὅτι εἴδοσαν
τὴν τούτου μητέρα,  τὸν ταύτης μνηστῆρα,
καὶ φόβῳ εἶπον·  «Οὗτος υἱός ἐστιν  ἀγενεαλόγητος;

Καὶ πῶς, παρθένε, τὸν μνηστευσάμενον
βλέπομεν ἀκμὴν ἔνδον τοῦ οἴκου σου;
Οὐκ ἔσχε μῶμον ἡ κύησις σου·
μὴ ἡ κατοίκησις ψεχθῇ συνόντος σοι τοῦ Ἰωσήφ·
πλῆθος ἔχεις φθονούντων ἐρευνώντων ποῦ ἐτέχθη
παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

(11.) —Ὑπομνήσω ὑμᾶς, μάγοις Μαρία ἔφησε,
τίνος χάριν κρατῶ τὸν Ἰωσὴφ ἐν οἴκῳ μου·
εἰς ἔλεγχον πάντων τῶν καταλαλούντων·
αὐτὸς γὰρ λέξει ἅπερ ἀκήκοε περὶ τοῦ παιδίου μου·
ὑπνῶν γὰρ εἶδεν ἄγγελον ἅγιον
λέγοντα αὐτῷ πόθεν συνέλαβον·
πυρίνη θέα τὸν ἀκανθώδη
ἐπληροφόρησε νυκτὸς περὶ τῶν λυπούντων αὐτόν·
δι' αὐτὸ σύνεστί μοι Ἰωσὴφ δηλῶν ὡς ἔστι
παιδίον νέον ὁ πρὸ αἰώνων Θεός.

(12.) Ῥητορεύει σαφῶς ἅπαντα ἅπερ ἤκουσεν·
ἀπαγγέλλει τρανῶς ὅσα αὐτὸς ἑώρακεν
ἐν τοῖς οὐρανίοις καὶ τοῖς ἐπιγείοις·
τὰ τῶν ποιμένων, πῶς συνανύμνησαν πηλίνοις οἱ πύρινοι·
ὑμῶν τῶν μάγων, ὅτι προέδραμεν
ἄστρον φωταυγοῦν καὶ ὁδηγοῦν ὑμᾶς·
διὸ ἀφέντες τὰ προρρηθέντα,
ἐκδιηγήσασθε ἡμῖν τὰ νῦν γενόμενα ὑμῖν,
πόθεν ἥκατε, πῶς δὲ συνήκατε ὅτι ὤφθη
παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.»

(13.) Ὡς δὲ ταῦτα αὐτοῖς ἡ φαεινὴ ἐλάλησεν,
οἱ τῆς ἀνατολῆς λύχνοι πρὸς ταύτην ἔφησαν·
«Μαθεῖν θέλεις πόθεν ἠλύθαμεν ὧδε;
Ἐκ γῆς Χαλδαίων, ὅθεν οὐ λέγουσι· θεὸς θεῶν κύριος,
ἐκ Βαβυλῶνος, ὅπου οὐκ οἴδασιν
τίς ὁ ποιητὴς τούτων ὧν σέβουσιν·
ἐκεῖθεν ἦλθε καὶ ἦρεν ἡμᾶς
ὁ τοῦ παιδίου σου σπινθὴρ ἐκ τοῦ πυρὸς τοῦ περσικοῦ·
πῦρ παμφάγον λιπόντες, πῦρ δροσίζον θεωροῦμεν,
παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

(14.) Ματαιότης ἐστὶ ματαιοτήτων ἅπαντα,
ἀλλ' οὐδεὶς ἐν ἡμῖν ταῦτα φρονῶν εὑρίσκεται·
οἱ μὲν γὰρ πλανῶσιν, οἱ δὲ καὶ πλανῶνται·

διό, παρθένε, χάρις τῷ τόκῳ σου δι᾽ οὗ ἐλυτρώθημεν
οὐ μόνον πλάνης, ἀλλὰ καὶ θλίψεως
τῶν χωρῶν πασῶν ὧνπερ διήλθομεν,
ἐθνῶν ἀσήμων, γλωσσῶν ἀγνώστων,
περιερχόμενοι τὴν γῆν καὶ ἐξερευνῶντες αὐτὴν
μετὰ λύχνου τοῦ ἄστρου, ἐκζητοῦντες ποῦ ἐτέχθη
παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

(15.) Ἀλλ᾽ ὡς ἔτι αὐτὸν τοῦτον τὸν λύχνον εἴχομεν,
τὴν Ἰερουσαλὴμ πᾶσαν περιωδεύσαμεν,
πληροῦντες εἰκότως τὰ τῆς προφητείας·
ἠκούσαμεν γὰρ ὅτι ἠπείλησε Θεὸς ἐρευνᾶν αὐτήν·
καὶ μετὰ λύχνου περιηρχόμεθα,
θέλοντες εὑρεῖν μέγα δικαίωμα·
ἀλλ᾽ οὐχ εὑρέθη, ὅτι ἐπήρθη
ἡ κιβωτὸς αὐτῆς μεθ᾽ ὧν συνεῖχε πρότερον καλῶν·
τὰ ἀρχαῖα παρῆλθεν, ἀνεκαίνισε γὰρ πάντα
παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

(16.) —Ναί, φησί, τοῖς πιστοῖς μάγοις Μαρία ἔφησε,
τὴν Ἰερουσαλὴμ πᾶσαν περιωδεύσατε,
τὴν πόλιν ἐκείνην τὴν προφητοκτόνον;
Καὶ πῶς ἀλύπως ταύτην διήλθετε τὴν πᾶσι βασκαίνουσαν;
Ἡρώδην πάλιν πῶς διελάθετε
τὸν ἀντὶ θεσμῶν φόνων ἐμπνέοντα;»
Οἱ δὲ πρὸς ταύτην φησί· «Παρθένε,
οὐ διελάθομεν αὐτόν, ἀλλ᾽ ἐνεπαίξαμεν αὐτῷ·
συνετύχομεν πᾶσιν ἐρωτῶντες ποῦ ἐτέχθη
παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.»

(17.) Ὅτε ταῦτα αὐτῶν ἡ Θεοτόκος ἤκουσεν,
τότε εἶπεν αὐτοῖς· «Τί ὑμᾶς ἐπηρώτησεν
Ἡρώδης ὁ ἄναξ καὶ οἱ Φαρισαῖοι;
—Ἡρώδης πρῶτον, εἶτα, ὡς ἔφησας, οἱ πρῶτοι τοῦ ἔθνους σου
τὸν χρόνον τούτου τοῦ φαινομένου νῦν
ἄστρου παρ᾽ ἡμῶν ἐξηκριβώσαντο·
καὶ ἐπιγνόντες ὡς μὴ μαθόντες
οὐκ ἐπεθύμησαν ἰδεῖν ὃν ἐξηρεύνησαν μαθεῖν,
ὅτι τοῖς ἐρευνῶσιν ὀφείλει θεωρηθῆναι
παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

(18.) Ὑπενόουν ἡμᾶς ἄφρονας οἱ ἀνόητοι
καὶ ἠρώτων, φησί· Πόθεν καὶ πότε ἥκατε;

πῶς μὴ φαινομένας ὡδεύσατε τρίβους;
Ἡμεῖς δὲ τούτοις ὅπερ ἠπίσταντο ἀντεπηρωτήσαμεν·
Ὑμεῖς τὸ πάρος πῶς διωδεύσατε
ἔρημον πολλὴν ἥνπερ διήλθετε;
Ὁ ὁδηγήσας τοὺς ἀπ᾽ Αἰγύπτου
αὐτὸς ὡδήγησε καὶ νῦν τοὺς ἐκ Χαλδαίων πρὸς αὐτόν,
τότε στύλῳ πυρίνῳ, νῦν δὲ ἀστέρι δηλοῦντι
παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

(19.) [Ὁ ἀστὴρ πανταχοῦ ἦν ἡμῶν προηγούμενος
ὡς ὑμῖν ὁ Μωσῆς ῥάβδον ἐπιφερόμενος,
τὸ φῶς περιλάμπων τῆς θεογνωσίας·
ὑμᾶς τὸ μάννα πάλαι διέθρεψε καὶ πέτρα ἐπότισεν·
ἡμᾶς ἐλπὶς ἡ τούτου ἐνέπλησε·
τῇ τούτου χαρᾷ διατρεφόμενοι,
οὐκ ἐν Περσίδι ἀναποδίσαι
διὰ τὸν ἄβατον ὁδὸν ὁδεύειν ἔσχομεν ἐν νῷ,
θεωρῆσαι ποθοῦντες, προσκυνῆσαι καὶ δοξάσαι
παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.»]

(20.) Ὑπὸ τῶν ἀπλανῶν μάγων ταῦτα ἐλέγετο·
ὑπὸ δὲ τῆς σεμνῆς πάντα ἐπεσφραγίζετο,
κυροῦντος τοῦ βρέφους τὰ τῶν ἀμφοτέρων,
τῆς μὲν ποιοῦντος μετὰ τὴν κύησιν τὴν μήτραν ἀμίαντον,
τῶν δὲ δεικνύντος μετὰ τὴν ἔλευσιν
ἄμοχθον τὸν νοῦν ὥσπερ τὰ βήματα·
οὐδεὶς γὰρ τούτων ὑπέστη κόπον,
ὡς οὐκ ἐμόχθησεν ἐλθὼν ὁ Ἀμβακοὺμ πρὸς Δανιήλ·
ὁ φανεὶς γὰρ προφήταις ὁ αὐτὸς ἐφάνη μάγοις
παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

(21.) Μετὰ ταῦτα αὐτῶν πάντα τὰ διηγήματα,
δῶρα ἦραν χερσὶν μάγοι καὶ προσεκύνησαν
τῷ δώρῳ τῶν δώρων, τῷ μύρῳ τῶν μύρων·
χρυσὸν καὶ σμύρναν εἶτα καὶ λίβανον Χριστῷ προσεκόμισαν,
βοῶντες· «Δέξαι δώρημα τρίϋλον,
ὡς τῶν Σεραφὶμ ὕμνον τρισάγιον·
μὴ ἀποστρέψῃς ὡς τὰ τοῦ Κάϊν,
ἀλλ᾽ ἐναγκάλισαι αὐτὰ ὡς τὴν τοῦ Ἄβελ προσφοράν,
διὰ τῆς σε τεκούσης, δι᾽ ἧς ἡμῖν ἐγεννήθης,
παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.»

(22.) Νέα νῦν καὶ φαιδρὰ βλέπουσα ἡ ἀμώμητος

μάγους δῶρα χερσὶ φέροντας καὶ προσπίπτοντας,
ἀστέρα δηλοῦντα, ποιμένας ὑμνοῦντας,
τὸν πάντων τούτων κτίστην καὶ κύριον ἱκέτευε λέγουσα·
«Τριάδα δώρων, τέκνον, δεξάμενος,
τρεῖς αἰτήσεις δὸς τῇ γεννησάσῃ σε·
ὑπὲρ ἀέρων παρακαλῶ σε
καὶ ὑπὲρ τῶν καρπῶν τῆς γῆς καὶ τῶν οἰκούντων ἐν αὐτῇ·
διαλλάγηθι πᾶσι, δι᾽ ἐμοῦ ὅτι ἐτέχθης,
παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

(23.) Οὐχ ἁπλῶς γάρ εἰμι μήτηρ σου, σῶτερ εὔσπλαγχνε·
οὐκ εἰκῇ γαλουχῶ τὸν χορηγὸν τοῦ γάλακτος,
ἀλλὰ ὑπὲρ πάντων ἐγὼ δυσωπῶ σε·
ἐποίησάς με ὅλου τοῦ γένους μου καὶ στόμα καὶ καύχημα·
ἐμὲ γὰρ ἔχει ἡ οἰκουμένη σου
σκέπην κραταιάν, τεῖχος καὶ στήριγμα·
ἐμὲ ὁρῶσιν οἱ ἐκβληθέντες
τοῦ παραδείσου τῆς τρυφῆς, ὅτι ἐπιστρέφω αὐτούς·
λάβῃ αἴσθησιν πάντα δι᾽ ἐμοῦ ὅτι ἐτέχθης,
παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

(24.) Σῶσον κόσμον, σωτήρ· τούτου γὰρ χάριν ἤλυθας·
στῆσον πάντα τὰ σά· τούτου γὰρ χάριν ἔλαμψας
ἐμοὶ καὶ τοῖς μάγοις καὶ πάσῃ τῇ κτίσει·
ἰδοὺ γὰρ μάγοι οἷς ἐνεφάνισας τὸ φῶς τοῦ προσώπου σου,
προσπίπτοντές σοι δῶρα προσφέρουσι
χρήσιμα, καλά, λίαν ζητούμενα·
αὐτῶν γὰρ χρῄζω, ἐπειδὴ μέλλω
ἐπὶ τὴν Αἴγυπτον μολεῖν καὶ φεύγειν σὺν σοὶ διὰ σέ,
ὁδηγέ μου, υἱέ μου, ποιητά μου, πλουτιστά μου,
παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.»

**62. Κοντάκιον εἰς τὴν τριήμερον καὶ ζωοποιὸν καὶ ὑπέρλα<μπρον> ἀνάστασιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, φέρον ἀκροστιχίδα τήνδε·**
**τοῦ ταπεινοῦ Ῥωμανοῦ ψαλμός**

ἦχος πλάγιος δ′
Προοίμιον Ι
Εἰ καὶ ἐκ τάφῳ κατῆλθες, ἀθάνατε,
ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν
καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός,
γυναιξὶ μυροφόροις τὸ χαῖρε φθεγξάμενος
καὶ τοῖς σοῖς ἀποστόλοις εἰρήνην δωρούμενος,

ὁ τοῖς πεσοῦσι   παρέχων ἀνάστασιν.

Προοίμιον ΙΙ

Καταλαβοῦσαι   γυναῖκες τὸ μνῆμά σου
καὶ μὴ εὑροῦσαι   τὸ ἄχραντον σῶμά σου
ἐλεεινὰ   δακρύουσαι ἔλεγον·
«Ἆρα ἐκλάπη   ὁ συληθεὶς   ἐκ τῆς αἱμόρρου   τὴν ἴασιν;
Ἆρα ἠγέρθη   ὁ προειπὼν   καὶ πρὸ τοῦ πάθους   τὴν ἔγερσιν;
Ἀληθῶς ἀνέστη Χριστὸς   ὁ τοῖς πεσοῦσι   παρέχων ἀνάστασιν.»

ΟΙ ΟΙΚΟΙ

(1) Τὸν πρὸ ἡλίου ἥλιον   δύναντά ποτε ἐν τάφῳ
προέφθασαν πρὸς ὄρθρον   ἐκζητοῦσαι ὡς ἡμέραν,
μυροφόροι κόραι   καὶ πρὸς ἀλλήλας ἐβόων·
«Ὦ φίλαι, δεῦτε,   τοῖς ἀρώμασιν ὑπαλείψωμεν
σῶμα ζωηφόρον   καὶ τεθαμμένον,
σάρκα ἀνιστῶσαν   τὸν παραπεσόντα Ἀδὰμ
κειμένην ἐν τῷ μνήματι.
Ἄγωμεν,   σπεύσωμεν   ὥσπερ οἱ μάγοι,
καὶ προσκυνήσωμεν   καὶ προσκομίσωμεν
τὰ μύρα ὡς δῶρα   τῷ μὴ ἐν σπαργάνοις,
ἀλλ᾽ ἐν σινδόνι   ἐνειλημένῳ·
καὶ κλαύσωμεν καὶ κράξωμεν·   ‘Ὦ δέσποτα,   ἐξεγέρθητι,
ὁ τοῖς πεσοῦσι   παρέχων ἀνάστασιν.’»

(2) Ὅτε δὲ ταῦτα ἑαυταῖς   ἔφησαν αἱ θεοφόροι,
ἐσκόπησαν καὶ ἄλλο   ὅ ἐστι σοφίας πλήρης
καί φησιν ἀλλήλαις·   «Γυναῖκες, τί ἀπατᾶσθε;
Πάντως γάρ, ὅτι   ἐν τῷ τάφῳ πέλει ὁ Κύριος.
Ἆρα ἕως ἄρτι   εἶχε κρατεῖσθαι
ὁ ἡνιοχεύων   τὴν τῶν κινουμένων πνοήν;
Ἀκμὴν νεκρὸς κατάκειται;
Ἄπιστον,   ἄστατον   τοῦτο τὸ ῥῆμα·
διὸ συνήσωμεν   καὶ οὕτω πράξωμεν·
ἀπέλθῃ Μαρία   καὶ ἴδῃ τὸν τάφον
καὶ οἷς ἂν εἴπῃ   ἀκολουθῶμεν·
πολλάκις γάρ, ὡς πρόειπεν,   ἐγήγερται   ὁ ἀθάνατος,
ὁ τοῖς πεσοῦσι   παρέχων ἀνάστασιν.»

(3) Ὑπὸ δὲ τούτου τοῦ σκοποῦ   αἱ συνεταὶ ῥυθμηθεῖσαι
προέπεμψαν, ὡς οἶμαι,   τὴν Μαγδαληνὴν Μαρίαν
ἐπὶ τὸ μνημεῖον,   ὡς λέγει ὁ Θεολόγος.

Ἦν δὲ σκοτία,  ἀλλ’ ἐκείνην πόθος κατέλαμπεν·
ὅθεν καὶ κατεῖδε  τὸν μέγαν λίθον
ἐκκεκυλισμένον  ἀπὸ τῆς θύρας τῆς ταφῆς
καὶ εἶπεν ὑποστρέψασα·
«Μαθηταί,  μάθετε  τοῦτο ὃ εἶδον
καὶ μή με κρύψητε,  ἐὰν νοήσητε·
ὁ λίθος οὐκέτι  καλύπτει τὸν τάφον·
μὴ ἄρα ἦραν  τὸν Κύριόν μου;
Οἱ φρουροὶ γὰρ οὐ φαίνονται,  ἀλλ’ ἔφυγον·  μὴ ἐγήγερται
ὁ τοῖς πεσοῦσι  παρέχων ἀνάστασιν;»

(4) Τούτων ὡς ἤκουσε Κηφᾶς  καὶ ὁ υἱὸς Ζεβεδαίου,
ἐξέδραμον εὐθέως  ὡς ἐρίζοντες ἀλλήλοις,
καὶ τοῦ Πέτρου πρῶτος  εὑρέθη ὁ Ἰωάννης·
ὅμως καὶ φθάσας  οὐκ εἰσῆλθεν ἔνδον τοῦ μνήματος,
ἀλλὰ ἀναμένει  τὸν κορυφαῖον,
ἵνα ὡς ποιμένι  ἀκολουθήσῃ ὁ ἀμνός·
καὶ ὄντως οὕτως ἔπρεπε.
Πέτρῳ γὰρ  εἴρηται·  «Πέτρε, φιλεῖς με;
Καὶ τὰ ἀρνία μου  ὡς θέλεις ποίμαινε»·
τῷ Πέτρῳ ἐρρέθη·  «Μακάριε Σίμων,
τὰς κλεῖς σοι δώσω  τῆς βασιλείας»·
Τῷ Πέτρῳ πρὶν ὑπέταξε  τὰ κύματα  ἃ ἐπέζευσεν
ὁ τοῖς πεσοῦσι  παρέχων ἀνάστασιν.

(5) Ἀλλ’ ὡς προεῖπον πρὸ μικροῦ,  Πέτρος τε καὶ Ἰωάννης
κατέλαβον τὸ μνῆμα  δι’ ὃ εἶπεν ἡ Μαρία,
καὶ εἰσῆλθον ἔνδον·  τὸν Κύριον δὲ οὐχ εὗρον.
Ὅθεν πρὸς ταῦτα  πτοηθέντες εἶπον οἱ ἅγιοι·
«Ἆρα τίνος χάριν  ἡμῖν οὐκ ὤφθη;
Μὴ τὴν παρρησίαν  ἡμῶν ἡγήσατο πολλήν;
Πολὺ γὰρ ἐτολμήσαμεν·
ἔδει γὰρ  ἔξωθεν  ἡμᾶς σταθῆναι
καὶ περιβλέψασθαι  τὰ ἐν τῷ μνήματι·
ὁ τάφος γὰρ οὗτος  οὐκέτι ὡς τάφος,
ἀλλ’ ὄντως θρόνος  Θεοῦ ὑπάρχει·
ἐν τούτῳ γὰρ ἐγένετο  καὶ ᾤκησεν  ὡς εὐδόκησεν
ὁ τοῖς πεσοῦσι  παρέχων ἀνάστασιν.

(6) Περιετράπη οὖν ἡμῖν  ἡ παρρησία εἰς τόλμαν
καὶ μᾶλλον ἐλογίσθη  καταφρόνησις τὸ θάρσος·
διὰ τοῦτο τάχα  οὐκ ὤφθη ὡς ἀναξίοις.»
Ταῦτα λαλούντων  τῶν γνησίων φίλων τοῦ πλάσαντος,

εἶπεν ἡ Μαρία    ἀκολουθοῦσα·
«Μύσται τοῦ Κυρίου    καὶ ὄντως θερμοὶ ἐρασταί,
μὴ ὣς ὑπολαμβάνητε,
ἀλλ' ὑπομείνατε,    μὴ ἀθυμεῖτε·
τὸ γὰρ γενόμενον    οἰκονομία ἦν
ἵνα αἱ γυναῖκες    ὡς πρῶται πεσοῦσαι
ἴδωσι πρῶται    τὸν ἀναστάντα·
ἡμῖν θέλει χαρίσασθαι    τὸ 'χαίρετε'    ταῖς πενθήσασιν
ὁ τοῖς πεσοῦσι    παρέχων ἀνάστασιν.»

(7) Ἐπειδὴ οὕτως ἑαυτὴν    ἐπληροφόρει Μαρία,
παρέμεινε τῷ τάφῳ    ἀπελθόντων τῶν ἁγίων·
ἀκμὴν γὰρ ἐδόκει    ὅτι ἐπήρθη τὸ σῶμα·
ὅθεν ἐβόα    οὐχὶ ῥήμασιν, ἀλλὰ δάκρυσιν·
«Οἴμοι, Ἰησοῦ μου,    ποῦ σε μετῆραν;
Πῶς δὲ κατεδέξω    κεκηλιδωμέναις χερσὶν
βαστάζεσθαι, ἀμώμητε;
'Ἅγιος,    ἅγιος,    ἅγιος' κράζει
τὰ ἑξαπτέρυγα    καὶ πολυόμματα·
καὶ τούτων οἱ ὦμοι    μόλις φέρουσί σε,
καὶ πλάνων χεῖρες    ἐβάστασάν σε·
ὁ Πρόδρομος βαπτίζων σε    ἐκραύγαζε·    'Σύ με βάπτισον,
ὁ τοῖς πεσοῦσι    παρέχων ἀνάστασιν.'

(8) Ἰδοὺ τριήμερος νεκρὸς    πέλεις, ὁ πάντα καινίζων·
ὁ Λάζαρον ἐγείρας    μετὰ τέσσαρας ἡμέρας
καὶ δρομαῖον δείξας    τὸν κηριαῖς δεδεμένον,
κεῖσαι ἐν τάφῳ,    καὶ ὡς εἴθε ᾔδειν ποῦ τέθαψαι,
ἵνα ὡς ἡ πόρνη    δάκρυσι βρέξω
μὴ μόνον τοὺς πόδας,    ἀλλὰ καὶ ὅλον ἀληθῶς
τὸ σῶμα καὶ τὸ μνῆμά σου,
λέγουσα·    'Δέσποτα,    ὡς τὸν τῆς χήρας
υἱὸν ἀνέστησας,    σαυτὸν ἀνάστησον·
ὁ τὴν Ἰαείρου    παιδίσκην ζωώσας,
τί ἔτι μένεις    ἐν τῷ μνημείῳ;
Ἀνάστηθι, ἐπίστηθι,    ἐμφάνηθι    τοῖς ζητοῦσί σε,
ὁ τοῖς πεσοῦσι    παρέχων ἀνάστασιν.'»

(9) Νενικημένην τῷ κλαυθμῷ    καὶ ἡττημένην τῷ πόθῳ
ἰδὼν ὁ πάντα βλέπων    τὴν Μαγδαληνὴν Μαρίαν,
ἐσπλαγχνίσθη τότε    καὶ ὤφθη λέγων τῇ κόρῃ·
«Γύναι, τί κλαίεις;    Τίνα θέλεις ἔνδον τοῦ μνήματος;»
Εἶτα ἡ Μαρία    στραφεῖσα εἶπε·

«Κλαίω ὅτι ἦραν τὸν κύριόν μου τῆς ταφῆς
καὶ οὐκ οἶδα ποῦ κατάκειται.
Πάντως δὲ σόν ἐστι τοῦτο τὸ ἔργον·
εἰ μὴ πλανῶμαι γάρ, ὁ κηπουρὸς εἶ σύ·
λοιπὸν εἰ ἐπῆρες τὸ σῶμα, εἰπέ μοι,
κἀγὼ λαμβάνω τὸν λυτρωτήν μου·
ἐμὸς πέλει διδάσκαλος καὶ κύριος ὁ ἐμός ἐστιν
ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.»

(10) Ὁ τὰς καρδίας ἐρευνῶν καὶ τοὺς νεφροὺς ἐμβατεύων,
εἰδὼς ὅτι γνωρίζει τὴν φωνὴν αὐτοῦ Μαρία,
ὡς ποιμὴν ἐφώνει τὴν μηκωμένην ἀμνάδα
λέγων· «Μαρία». Ἡ δ' εὐθέως εἶπε γνωρίσασα·
«Ὄντως ὁ καλός μου ποιμὴν φωνεῖ με
ἵνα τοῖς ἐννέα καὶ ἐνενήκοντα ἀμνοῖς
λοιπὸν συναριθμήσῃ με·
βλέπω γὰρ ὄπισθεν τοῦ με καλοῦντος
ἁγίων σώματα, δικαίων τάγματα·
διὸ οὔτε λέγω· 'Τίς εἶ ὁ καλῶν με;'·
σαφῶς γὰρ ἔγνων τίς ὁ καλῶν με·
αὐτός ἐστιν, ὡς πρόειπον, ὁ κύριος ὁ ἐμός, ἔστιν
ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.»

(11) Ὑπὸ δὲ πόθου τοῦ θερμοῦ καὶ τῆς ἐμπύρου ἀγάπης
ἡ κόρη κατεπείχθη καὶ κρατῆσαι ἠβουλήθη
τὸν ἀπεριγράπτως τὴν κτίσιν πᾶσαν πληροῦντα·
ὅμως ὁ πλάστης τὴν σπουδὴν αὐτῆς οὐκ ἐμέμψατο,
ἀλλ' ἐπὶ τὰ θεῖα αὐτὴν ἀνάγει
λέγων· «Μή μου ἅπτου· ἢ μόνον βροτόν με νοεῖς;
Θεός εἰμι, μὴ ἅπτου μου.
Ὦ σεμνή, πέτασον ἄνω τὸ ὄμμα
καὶ κατανόησον τὰ ἐπουράνια·
ἐκεῖ ζήτησόν με· καὶ γὰρ ἀναβαίνω
πρὸς τὸν πατέρα ὃν οὐκ ἀφῆκα·
αὐτοῦ πέλω ὁμόχρονος καὶ σύνθρονος καὶ ὁμότιμος,
ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

(12) Ῥητορευέτω δὲ λοιπὸν ταῦτα ἡ γλῶσσά σου, γύναι,
καὶ διερμηνευέτω τοῖς υἱοῖς τῆς βασιλείας
τοῖς καραδοκοῦσι τὴν ἔγερσίν μου τοῦ ζῶντος.
Σπεῦσον, Μαρία, καὶ τοὺς μαθητάς μου συνάθροισον·
σάλπιγγί σοι χρῶμαι μεγαλοφώνῳ·
ἤχησον εἰρήνην εἰς τὰς ἐμφόβους ἀκοὰς

τῶν κεκρυμμένων φίλων μου,
ἔγειρον ἅπαντας ὥσπερ ἐξ ὕπνου,
ἵν’ ὑπαντήσωσι καὶ δᾷδας ἅψωσιν·
εἰπέ· ‘Ὁ νυμφίος ἠγέρθη τοῦ τάφου
καὶ οὐδὲν ἀφῆκεν ἐντὸς τοῦ τάφου·
ἀπώσασθε, ἀπόστολοι, τὴν νέκρωσιν, ὅτι ἐγήγερται
ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.’»

(13) Ὡς οὖν ἀκήκοε σαφῶς ὅλων τῶν λόγων τοῦ Λόγου,
ὑπέστρεψεν ἡ κόρη καί φησι ταῖς ὁμοτρόποις·
«Θαυμαστά, γυναῖκες, ἃ εἶδον καὶ διηγοῦμαι·
μή τις οὖν δόξῃ ὡς ληρήματά μου τὰ ῥήματα·
οὐ γὰρ ἐφαντάσθην, ἀλλ’ ἐνεπνεύσθην·
πέπλησμαι τῆς θέας καὶ τῆς ὁμιλίας Χριστοῦ,
καὶ πῶς καὶ πότε μάθετε.
Ὅτε με ἔλιπον οἱ περὶ Πέτρον,
ἱστάμην κλαίουσα ἐγγὺς τοῦ μνήματος·
ἐδόκουν γὰρ ὅτι ἐπήρθη τοῦ τάφου
τὸ θεῖον σῶμα τοῦ ἀθανάτου·
ἀλλ’ εὐθέως οἰκτείρας μου τὰ δάκρυα, ἐπεφάνη μοι
ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

(14) Μετεποιήθη ἄθροον εἰς εὐφροσύνην ἡ λύπη
καὶ γέγονέ μοι πάντα ἱλαρὰ καὶ γεγηθότα·
οὐκ ὀκνῶ δὲ λέγειν· ‘Ὥσπερ Μωσῆς ἐδοξάσθην’·
εἶδον γάρ, εἶδον, οὐκ ἐν ὄρει, ἀλλ’ ἐν τῷ μνήματι,
οὐχ ὑπὸ νεφέλην, ἀλλ’ ὑπὸ σῶμα,
τὸν τῶν ἀσωμάτων δεσπότην καὶ τῶν νεφελῶν
τὸν πρὶν καὶ νῦν καὶ πάντοτε
λέγοντα· ‘Μαριάμ, σπεῦσον καὶ φράσον
τοῖς ἀγαπῶσί με ὅτι ἐγήγερμαι·
ὡς κάρφος ἐλαίας λαβοῦσά με γλώσσῃ,
τοῖς ἐκ τοῦ Νῶε εὐαγγελίζου
σημαίνουσα ὡς πέπαυται ὁ θάνατος καὶ ἐγήγερται
ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.’»

(15) Ἀκούσας τούτων ὁ χορὸς τῶν εὐσεβῶν νεανίδων
συμφώνως ἀπεκρίθη τῇ Μαγδαληνῇ Μαρίᾳ·
«Ἀληθὲς ὃ εἶπας καὶ συναινοῦμέν σοι πᾶσαι·
οὐκ ἀπιστοῦμεν, ἀλλὰ τοῦτο μόνον θαυμάζομεν
ὅτι ἕως ἄρτι ἦν ἐν τῷ τάφῳ
καὶ συναριθμεῖσθαι τοῖς τεθνεῶσιν ἡ ζωὴ
ἠνείχετο τριήμερον·

ὅτι γὰρ ἤμελλεν ἐκ τῶν χθονίων
ἐλθεῖν ἠλπίζομεν· διὸ ἐλέγομεν·
‘Τοῦ κήτους οἰκέτην ἐξήγαγε τότε,
καὶ πῶς κρατεῖται ὑπὸ θανάτου;
Εἰ τοῦ θηρὸς ἀνήρπασεν, ἀνίσταται καὶ ἐκ μνήματος
ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.’

(16) Νῦν οὖν μὴ νόμιζε, σεμνή, ὅτι χωλεύει ἃ λέγεις·
ὀρθῶς ἡμῖν ἐφθέγξω καὶ οὐδὲν ἐν τούτοις σκάζον·
ἀληθὴς ὁ λόγος καὶ προσηνής σου ὁ τρόπος·
ὅμως, Μαρία, κοινωνῆσαί σοι βουλευόμεθα
ἵνα μὴ ἓν μέλος ἡμῶν τρυφήσῃ,
μείνῃ δὲ τὰ ἄλλα νεκρὰ καὶ ἄγευστα ζωῆς
ἐκείνης ἧς ἀπήλαυσας·
γένωνται ἅμα σοι στόματα πλεῖστα
ἐπισφραγίζοντα τὴν μαρτυρίαν σου·
ἀπέλθωμεν πᾶσαι ἐπὶ τὸ μνημεῖον
καὶ βεβαιοῦμεν τὴν ὀπτασίαν·
κοινὸν ἔστω, συνόμιλε, τὸ καύχημα ὃ παρέσχε σοι
ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.»

(17) Οὕτω λαλῶν ὁ σύλλογος τῶν θεοφόρων θηλείων
ἐξήρχετο τὴν πόλιν μετὰ τῆς διηγουμένης
καὶ ἰδὼν τὸν τάφον ἀπὸ μακρόθεν ἐβόα·
«Ἴδε ὁ τόπος, μᾶλλον δὲ ὁ κόλπος ὁ ἄχραντος·
ἴδε ὁ βαστάσας τὸν βασιλέα,
ἴδε ὁ χωρήσας ὃν οὐ χωροῦσιν οὐρανοί,
χωροῦσι δὲ οἱ ἅγιοι.
Αἶνός σοι, ὕμνος σοι, ἅγιε τάφε,
μικρὲ καὶ μέγιστε, πτωχὲ καὶ πλούσιε,
ζωῆς ταμιεῖον, εἰρήνης δοχεῖον,
χαρᾶς σημεῖον, Χριστοῦ μνημεῖον·
ἑνὸς μνῆμα, τοῦ κόσμου δὲ τὸ καύχημα, ὡς ηὐδόκησεν
ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.»

(18) Ὑμνολογήσασαι λοιπὸν τοῦ ζωοδότου τὸν τάφον,
ἐστράφησαν καὶ εἶδον τὸν καθήμενον τῷ λίθῳ
καὶ ἀπὸ τοῦ φόβου εἰς τὰ ὀπίσω ἀπῆλθον,
εὐλαβηθεῖσαι, κάτω κλίνασαι καὶ τὰ πρόσωπα
καὶ μετὰ δειλίας λαλοῦσαι ταῦτα·
«Τί τοῦτο τὸ εἶδος ἐστίν, ἢ τίνος ἡ μορφή;
Τίς πέφυκεν ὃν βλέπομεν;
ἄγγελος; ἄνθρωπος; ἄνωθεν ἦλθεν

ἢ τάχα κάτωθεν ἡμῖν ἀνέτειλεν;
Πῦρ πέλει, φῶς πέμπει, ἀστράπτει, αὐγάζει·
φύγωμεν, κόραι, μὴ φλογισθῶμεν·
ὄμβρε θεῖε, οὐράνιε, ἐπίσταξον ταῖς διψῶσί σε,
ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

(19) Ψυχαγωγήσουσιν ἡμᾶς νῦν ὡς σταγόνες οἱ λόγοι
τοῦ στόματός σου, Λόγε, ἡ χαρὰ τῶν θλιβομένων,
ἡ ζωὴ τῶν πάντων, μὴ νεκρωθῶμεν τῷ φόβῳ.»
Ταῦτα, ὡς οἶμαι, ἐλιτάνευον αἱ θεόπνευστοι·
ὅθεν ἐμειλίχθη ὁ ἐν τῷ λίθῳ
καὶ πρὸς τὰς γυναῖκας φησί· «Μὴ φοβεῖσθε ὑμεῖς,
ἀλλ’ οὗτοι οἱ φυλάσσοντες·
φρίξουσι, πτήξουσι καὶ νεκρωθῶσιν
ἀπὸ τοῦ φόβου μου, ἵνα καὶ μάθωσιν
ὅτι τῶν ἀγγέλων δεσπότης ὑπάρχει
ὃν νῦν φρουροῦσιν, ἀλλ’ οὐ κρατοῦσιν·
ἀνέστη γὰρ ὁ Κύριος καὶ οὐκ ἔγνωσαν πῶς ἐγήγερται
ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

(20) Ἀθανατίσθητε λοιπόν, θήλειαι, μὴ νεκρωθῆτε·
τὸν κτίστην τῶν ἀγγέλων ἐζητεῖτε θεωρῆσαι,
καὶ ἑνὸς ἀγγέλου τὴν ὄψιν τί δειλιᾶτε;
Δοῦλος ὑπάρχω τοῦ τὸν τάφον τοῦτον οἰκήσαντος,
τάξιν ὑπηρέτου καὶ φύσιν ἔχω·
ἅπερ προσετάχθην ἐπέστην κηρῦξαι ὑμῖν·
‘Ἐγήγερται ὁ Κύριος,
ἔτριψε τὰς χαλκᾶς πύλας τοῦ ᾅδου
καὶ σιδηροῦς μοχλοὺς αὐτοῦ συνέθλασε,
καὶ τῇ προφητείᾳ ἐπέθηκε πέρας,
καὶ τῶν ἁγίων ὕψωσε κέρας.’
Δεῦτε, κόραι, καὶ ἴδετε ποῦ ἔκειτο ὁ ἀθάνατος,
ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.»

(21) Λαβοῦσαι θάρσος ἄμεμπτον ἐκ τῆς φωνῆς τοῦ ἀγγέλου,
φρονίμως αἱ γυναῖκες ἀπεκρίθησαν πρὸς τοῦτον·
«Ἀληθῶς ἀνέστη ὁ Κύριος, καθὼς ἔφης·
ἔδειξας ἡμῖν καὶ τῷ ῥήματι καὶ τῷ σχήματι
ὅτιπερ ἀνέστη ὁ ἐλεήμων·
εἰ μὴ γὰρ ἀνέστη καὶ ἐπορεύθη τῆς ταφῆς,
οὐκ ἂν αὐτὸς ἐκάθισας·
πότε γὰρ στρατηγός, τοῦ βασιλέως
παρόντος, κάθηται ἢ διαλέγεται;

Εἰ δὲ καὶ τελεῖται  ἐν γῇ τὰ τοιαῦτα,
ἀλλ' ἐν ὑψίστοις  οὐκ ἔστι ταῦτα,
ὅπου θρόνος ἀθέατος  καὶ ἄφραστος  ὁ καθήμενος,
ὁ τοῖς πεσοῦσι  παρέχων ἀνάστασιν.»

(22) Μίξασαι φόβῳ τὴν χαρὰν  καὶ εὐφροσύνην τῇ λύπῃ
ὑπέστρεψαν τοῦ τάφου,  ὡς διδάσκει τὸ βιβλίον,
πρὸς τοὺς ἀποστόλους  καὶ ἔλεγον αἱ γυναῖκες·
«Τί ἀθυμεῖτε;  Τί τὰ πρόσωπα συγκαλύπτετε;
Ἄνω τὰς καρδίας·  Χριστὸς ἀνέστη.
Στήσατε χορείας  καὶ εἴπατε ἅμα ἡμῖν·
'Ἐγήγερται ὁ Κύριος'·
ἔλαμψεν  ὁ τεχθεὶς  πρὸ ἑωσφόρου·
μὴ οὖν στυγνάσητε,  ἀλλ' ἀναθάλλετε·
τὸ ἔαρ ἐφάνη·  ἀνθήσατε, κλῶνες,
καρποφορίαν,  μὴ δυσφορίαν·
πάντες χεῖρας κροτήσωμεν  καὶ εἴπωμεν·  'Ἐξεγήγερται
ὁ τοῖς πεσοῦσι  παρέχων ἀνάστασιν.'»·

(23) Οἱ δὲ ἀκούσαντες σαφῶς  καὶ εὐφρανθέντες τῷ λόγῳ
ἐξέστησαν εὐθέως  καί φησι πρὸς τὰς γυναῖκας·
«Πόθεν τοῦτο, κόραι,  ἐμάθετε ὃ λαλεῖτε;
Ἄγγελος εἶπεν;  —Ναί, φησίν, καὶ εἶπε καὶ ἔδειξε,
καὶ ὁ τῶν ἀγγέλων  Θεὸς καὶ πλάστης
ὤφθη τῇ Μαρίᾳ  καὶ ἔφη· 'Λέξον τοῖς ἐμοῖς·
ἐγήγερται ὁ Κύριος.'
Δεῦτε οὖν,  ὡς κριοὶ  καὶ ὡς ἀρνία
προβάτων ἅπαντες  σκιρτῶντες εἴπωμεν·
'Ποιμὴν ἡμῶν, δεῦρο,  συνάγαγε ἡμᾶς
τοὺς σκορπισθέντας  ὑπὸ δειλίας·
ἐπάτησας τὸν θάνατον,  ἐπίστηθι  τοῖς ποθοῦσί σε,
ὁ τοῖς πεσοῦσι  παρέχων ἀνάστασιν.'»

(24) Συναναστήτω σοι, σωτήρ,  ἡ νεκρωθεῖσα ψυχή μου,
μὴ φθείρῃ ταύτην λύπη  καὶ λοιπὸν εἰς λήθην ἔλθῃ
τῶν ᾀσμάτων τούτων  τῶν ταύτην ἁγιαζόντων·
ναί, ἐλεήμων,  ἱκετεύω σε μὴ παρίδῃς με
τὸν ταῖς πλημμελείαις  κατεστιγμένον·
ἐν γὰρ ἀνομίαις  καὶ <ἐν> ἁμαρτίαις ἐμὲ
ἐκίσσησεν ἡ μήτηρ μου,
Πάτερ μου  ἅγιε  καὶ φιλοικτίρμον,
ἁγιασθήτω σου  ἀεὶ τὸ ὄνομα
ἐν τῷ στόματί μου  καὶ τοῖς χείλεσί μου,

ἐν τῇ φωνῇ μου καὶ τῇ ᾠδῇ μου·
δός μοι χάριν κηρύττοντι τοὺς ὕμνους σου, ὅτι δύνασαι,
ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

**63. Τῇ τετράδι τῆς μεσονηστίμου, κοντάκιον σταυρώσιμον, φέρον ἀκροστιχίδα τήνδε·**
**τοῦ ταπεινοῦ Ῥωμανοῦ**

ἦχος βαρύς, ἰδιόμελον.

Προοίμιον Ι
Οὐκέτι φλογίνη ῥομφαία φυλάττει τὴν πύλην τῆς Ἐδέμ·
αὐτῇ γὰρ ἐπῆλθε, παράδοξος δέσις, τὸ ξύλον τοῦ σταυροῦ·
θανάτου τὸ κέντρον καὶ ᾅδου τὸ νῖκος ἐνήλωτο·
ἐπέστης δέ, σωτήρ μου, βοῶν τοῖς ἐν ᾅδῃ· «Εἰσάγεσθε
πάλιν εἰς τὸν παράδεισον.»

Προοίμιον ΙΙ
Ὡς ἀληθῶς λύτρον ἀντὶ πολλῶν προσηλωθεὶς τῷ τύπῳ τοῦ σταυροῦ,
Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξηγοράσω ἡμᾶς·
τῷ τιμίῳ γὰρ φιλανθρώπως αἵματι
τὰς ψυχὰς ἡμῶν ἐκ θανάτου ἥρπασας,
συνεισενέγκας ἡμᾶς πάλιν εἰς τὸν παράδεισον.

Προοίμιον ΙΙΙ
Τὰ οὐράνια καὶ τὰ ἐπίγεια συγχαίρουσι δικαίως τῷ Ἀδὰμ
ὅτι κέκληται πάλιν εἰς τὸν παράδεισον.

ΟΙ ΟΙΚΟΙ

(1) Τρεῖς σταυροὺς ἐπήξατο ἐν Γολγοθᾷ ὁ Πιλᾶτος,
δύο τοῖς ληστεύσασι καὶ ἕνα τῷ ζωοδότῃ·
ὃν εἶδεν ὁ Ἅιδης καὶ εἶπε τοῖς κάτω·
«Ὦ λειτουργοί μου καὶ δυνάμεις μου,
τίς ὁ ἐμπήξας ἧλον τῇ καρδίᾳ μου;
Ξυλίνη με λόγχη ἐκέντησεν ἄφνω καὶ διαρρήσσομαι·
τὰ ἔνδον πονῶ, τὴν κοιλίαν μου ἀλγῶ·
τὰ αἰσθητήριά μου· μαιμάσσει τὸ πνεῦμά μου,
καὶ ἀναγκάζομαι ἐξερεύξασθαι
τὸν Ἀδὰμ καὶ τοὺς Ἀδὰμ ξύλῳ δοθέντας μοι·
ξύλον τούτους εἰσάγει πάλιν εἰς τὸν παράδεισον.»

(2) Ὅτε τούτων ἤκουσεν ὁ δολιόβουλος ὄφις,
ἔδραμε συρόμενος καὶ κράζει· «Ἅιδη, τί ἔχεις;

Τί μάτην στενάζεις;   Τί λόγους προσφέρεις;
Τοῦτο τὸ ξύλον   ὅπερ ἔφριξας
τῷ ἐκ Μαρίας   ἄνω ἐτεκτόνευσα·
ἐγὼ Ἰουδαίοις ὑπέδειξα τοῦτο   πρὸς τὸ συμφέρον ἡμῖν·
ἔστι γὰρ σταυρὸς   ᾧ προσήλωσαν Χριστόν·
ξύλῳ γὰρ θέλω ἀνελεῖν   τὸν Ἀδὰμ τὸν δεύτερον.
Μὴ οὖν ταράξῃ σε,   οὐχ ἁρπάσει σε·
μεῖνον ἔχων οὓς κρατεῖς;   ὧν γὰρ δεσπόζομεν
οὐδὲ εἷς ἀποφεύγει   πάλιν εἰς τὸν παράδεισον.

(3) —Ὕπαγε, ἀνάνηψον,   Βελίαρ, κράζει ὁ Ἅιδης·
δράμε, ἀποκάλυψον   τοὺς ὀφθαλμούς σου, καὶ ἴδε
τοῦ ξύλου τὴν ῥίζαν   ἐντὸς τῆς ψυχῆς μου·
κάτω κατῆλθεν   εἰς τὰ βάθη μου
ἵν' ἀνασπάσῃ   τὸν Ἀδὰμ ὡς σίδηρον.
Τὴν τούτου εἰκόνα ποτὲ Ἐλισσαῖος   προεζωγράφησεν
ἐκ τοῦ ποταμοῦ   τὴν ἀξίνην ἀνελών·
τῷ ἐλαφρῷ τὸ βαρὺ   ὁ προφήτης εἵλκυσε,
προοιμιάζων σοι   καὶ διδάσκων σε
ὅτι ξύλῳ ὁ Ἀδὰμ   μέλλει ἀνάγεσθαι
ἀπὸ ταλαιπωρίας   πάλιν εἰς τὸν παράδεισον.

(4) —Τίς τοιαύτην ἔννοιαν   ὑπέθετό σοι, ὦ Ἅιδη;
Πόθεν ἐδειλίασας   ἐν φόβῳ οὗ οὐκ ἦν φόβος,
ἐκ ξύλου ἀτίμου,   ξηροῦ καὶ ἀκάρπου,
τοῦ γενομένου   πρὸς ἀναίρεσιν
τῶν κακουργούντων   καὶ χαιρόντων αἵμασι;
Πιλᾶτος γὰρ τοῦτο ἐφεῦρε, πεισθείς μου   τοῖς συμβουλεύμασι,
καὶ τρέμεις αὐτό,   καὶ ἡγεῖσαι δυνατόν;
Τὸ τιμωρὸν πανταχοῦ   παρὰ σοῦ σωτήριον;
Τίς ὁ πλανήσας σε;   Τίς δ' ὁ πείσας σε
ὅτι ξύλῳ ὁ πεσὼν   ξύλῳ ἀνίσταται
καὶ καλεῖται οἰκῆσαι   πάλιν εἰς τὸν παράδεισον;

(5) —Ἄφρων ἄφνω γέγονας,   ὁ πρώην φρόνιμος ὄφις·
πᾶσα ἡ σοφία σου   διὰ σταυροῦ κατεπόθη
καὶ ἐν τῇ παγίδι   τῇ σῇ ἐζωγρεύθης·
ἆρον τὸ ὄμμα   καὶ θεώρησον
ὅτι εἰς βόθρον   ὃν εἰργάσω ἔπεσας.
Ἰδοὺ γὰρ τὸ ξύλον ἐκεῖνο, ὃ λέγεις   ξηρὸν καὶ ἄκαρπον,
βλαστάνει καρπὸν   οὗ γευσάμενος ληστὴς
τῶν ἀγαθῶν τῆς Ἐδὲμ   κληρονόμος γέγονεν·
ὑπὲρ τὴν ῥάβδον γὰρ   τὴν ἐξάξασαν

ἐξ Αἰγύπτου τὸν λαὸν  τοῦτο ἐνήργησε·
τὸν Ἀδὰμ γὰρ εἰσάγει  πάλιν εἰς τὸν παράδεισον.

(6) —Παῦσαι, Ἅιδη ἄθλιε,  δειλῶν ἀπόσχου ῥημάτων·
οὗτοι γὰρ οἱ λόγοι σου  τοὺς λογισμούς σου δηλοῦσι·
σταυρὸν ἐφοβήθης  καὶ τὸν σταυρωθέντα,
ὧν οὐδὲ εἷς με  παρεσάλευσε·
τῆς γὰρ βουλῆς μου  δράματα ὑπάρχουσιν·
θελήσω δὲ πάλιν καὶ μνῆμα ἀνοίξω  καὶ ἐντυμβεύσω Χριστόν,
ἵν' οὕτως ἔχῃς  τὴν δειλίαν σου διπλῆν,
ἀπὸ τοῦ τάφου αὐτοῦ  ὡς ἐκ τοῦ σταυροῦ αὐτοῦ·
ἐγὼ δὲ βλέπων σε  ἐγγελάσω σε·
θαπτομένου γὰρ Χριστοῦ,  ἔρχομαι λέγων σοι·
'Τὸν Ἀδὰμ τίς εἰσάγει  πάλιν εἰς τὸν παράδεισον;'»

(7) Ἔκραξε δὲ ἄθροον  πρὸς τὸν διάβολον Ἅιδης·
πῆρος τῷ μὴ βλέποντι,  τυφλὸς τυφλῷ λέγει· «Βλέψον,
ἐν σκότει πορεύει,  ψηλάφα μὴ πέσῃς·
νόει ὃ λέγω,  βαρυκάρδιε,
ὅτι ὃ πράττεις  ἔσβεσε τὸν ἥλιον.
Αὐτὸ γὰρ τὸ ξύλον εἰς ὃ ἐγκαυχᾶσαι  τὸ πᾶν ἐσάλευσεν,
ἐκλόνησε γῆν,  ἐκάλυψεν οὐρανόν,
ἔρρηξε πέτρας ὁμοῦ  καὶ τὸ καταπέτασμα,
καὶ τοὺς ἐν μνήμασιν  ἐξανέστησε,
καὶ βοῶσιν οἱ νεκροί·  'Ἅιδη, κατάλαβε·
ὁ Ἀδὰμ γὰρ ὑπάγει  πάλιν εἰς τὸν παράδεισον.'

(8) —Ἴσχυσε πτοῆσαί σε  τοῦ Ναζωραίου τὸ ξύλον;»
ἔφη ὁ διάβολος  πρὸς τὸν ὀλέθριον Ἅιδην.
«Σταυρῷ ἐνεκρώθης  ὁ πάντας νεκρώσας;
Ὅλως εἰ ξύλον  σε ἐπτόησε,
ἔδει σε φρῖξαι  τοῦ Ἀμὰν τὴν σταύρωσιν
κἀκεῖνον τὸν πάσσαλον ᾧπερ ἀνεῖλε  τὸν Σισάρα Ἰαὴλ
καὶ πέντε σταυροὺς  οἷς προσήλωσέ ποτε
τοὺς τυραννοῦντας αὐτῷ  Ἰησοῦς ὁ τοῦ Ναυῆ·
περισσοτέρως δὲ  πτοησάτω σε
τὸ φυτὸν τὸ ἐν Ἐδέμ,  ὅτι ἐξήγαγε
τὸν Ἀδὰμ καὶ οὐκ εἰσάγει  πάλιν εἰς τὸν παράδεισον.

(9) —Νῦν καιρὸς ἀνοῖξαί σοι  τὰς ἀκοάς σου, Βελίαρ·
νῦν ἡ ὥρα δείξει σοι  τὴν τοῦ σταυροῦ δυναστείαν
καὶ τοῦ σταυρωθέντος  πολλὴν ἐξουσίαν.
Σοὶ μὲν μωρία  ὁ σταυρός ἐστι,

πάσῃ δὲ κτίσει   θρόνος τεθεώρηται
ἐν ᾧ Ἰησοῦς ἡλωμένος, καθάπερ   ἐπικαθήμενος,
ἀκούει λῃστοῦ   ἐκβοῶντος πρὸς αὐτόν·
‘Κύριε, μνήσθητί μου   ἐν τῇ βασιλείᾳ σου.’
Καὶ ἀποκρίνεται   ὡς ἐκ βήματος
ὅτι· ‘Σήμερον, πτωχέ,   συμβασιλεύσεις μοι·
μετ’ ἐμοῦ γὰρ εἰσέρχῃ   πάλιν εἰς τὸν παράδεισον.’»

(10) Ὅτε τούτων ἤκουσεν   ὁ πολυμήχανος δράκων,
ὥρμησε τρυχόμενος   καὶ ἅπερ ἤκουσεν εἶδε,
λῃστὴν μαρτυροῦντα   Χριστῷ μαρτυροῦντι·
ὅθεν πρὸς ταῦτα   ἐκπληττόμενος,
τύπτει τὸ στῆθος   καὶ διαλογίζεται·
«Λῃστῇ ὁμιλεῖ, καὶ τοῖς κατηγοροῦσιν   οὐκ ἀποκρίνεται·
Πιλᾶτόν ποτε   οὐδὲ λόγου ἀξιῶν,
νῦν προσφωνεῖ τῷ φονεῖ   λέγων· ‘Δεῦρο τρύφησον.’
Τί τὸ γενόμενον;   Τί ἑώρακεν
ἐν σταυρῷ πρὸς τὸν λῃστήν,   ἔργα ἢ ῥήματα,
διὰ ποῖον λαμβάνει   τοῦτον εἰς τὸν παράδεισον;»

(11) Ὕψωσε δὲ δεύτερον   φωνὴν ἰδίαν ὁ δαίμων
κράζων· «Ἅιδη, δέξαι με,   πρὸς σὲ ἡ ἀποστροφή μου·
τὰ σὰ γὰρ ὑπέστην   τοῖς σοῖς μὴ πιστεύσας.
Εἶδον τὸ ξύλον   ὅπερ ἔφριξας
πεφοινιγμένον   αἵματι καὶ ὕδατι
καὶ ἔφριξα, οὐκ ἐκ τοῦ αἵματος λέγω,   ἀλλ’ ἐκ τοῦ ὕδατος·
τὸ μὲν γὰρ δηλοῖ   τὴν σφαγὴν τοῦ Ἰησοῦ,
τὸ δὲ τὴν τούτου ζωήν·   ἡ ζωὴ γὰρ ἔβλυσεν
ἐκ τῆς πλευρᾶς αὐτοῦ·   οὐχ ὁ πρῶτος γάρ,
ἀλλ’ ὁ δεύτερος Ἀδὰμ   Εὔαν ἐβλάστησε,
τὴν μητέρα τῶν ζώντων,   πάλιν εἰς τὸν παράδεισον.»

(12) Ῥήμασι χρησάμενος   τοιούτοις ὁ παμπανοῦργος
μόλις ὡμολόγησε   συμπεπτωκέναι τῷ Ἅιδῃ·
ἀμέλει γοῦν ἅμα   θρηνοῦσι τὸ πτῶμα·
«Τί, φησί, τοῦτο   ὃ ὑπέστημεν;
Πόθεν τῷ ξύλῳ   τούτῳ ἐνεπέσαμεν;
Εἰς ὄλεθρον ἡμῶν ἡ τούτου φυτεία   ἐνερριζώθη τῇ γῇ·
στελέχη πικρὰ   ἐγκεντρίσαντες αὐτῷ,
τὸν ἐν αὐτῷ γλυκασμὸν   οὐ μετεποιήσαμεν.
—Οἴμοι συνόμιλε.   —Οἴμοι σύντροφε·
ὡς ἐπέσαμεν ὁμοῦ,   οὕτω πενθήσωμεν·
ὁ Ἀδὰμ γὰρ ὑπάγει   πάλιν εἰς τὸν παράδεισον.

(13) Ὢ πῶς οὐκ ἐμνήσθημεν   τῶν τύπων τούτου τοῦ ξύλου·
πάλαι γὰρ ἐδείχθησαν   πολυμερῶς, πολυτρόπως,
ἐν τοῖς σῳζομένοις   καὶ ἀπολλυμένοις.
Ξύλῳ ὁ Νῶε   διεσῴζετο,
κόσμος δὲ ὅλος   ἀπειθήσας ὤλετο·
Μωσῆς δι' αὐτοῦ ἐδοξάσθη, τὴν ῥάβδον   καθάπερ σκῆπτρον λαβών,
ἡ Αἴγυπτος δὲ   ταῖς πληγαῖς ταῖς ἐξ αὐτοῦ
ὥσπερ βαθείαις πηγαῖς   ἐμπεσοῦσα πνίγεται.
Ἃ νῦν γὰρ ἔπραξε,   πάλαι ἔδειξεν
ἐν εἰκόνι ὁ σταυρός·   τί οὖν οὐ κλαίομεν;
Ὁ Ἀδὰμ γὰρ ὑπάγει   πάλιν εἰς τὸν παράδεισον.

(14) —Μεῖνον, Ἅιδη ἄθλιε»,   στενάζων ἔφη ὁ δαίμων.
«Σίγησον, καρτέρησον,   ἐπίθες στόματι χεῖραν·
φωνῆς γὰρ ἀκούω   χαρὰν μηνυούσης·
ἦχός μοι ἦλθεν   ἀγαθάγγελος,
κτύπος ῥημάτων   ὥσπερ φύλλων τοῦ σταυροῦ·
Χριστὸς γάρ, ὡς μέλλων νεκροῦσθαι, ἐβόα   τὸ 'Πάτερ, ἄφες αὐτοῖς'·
ἀλλ' ἔθλιψέ με   τὸ μετέπειτα εἰπὼν
ὅτι 'Οὐκ οἴδασι τί   ποιοῦσιν οἱ ἄνομοι.'
Ἡμεῖς δὲ οἴδαμεν   ὅτι κύριος
δόξης ἐστὶν ὁ παθὼν   καὶ ὅτι βούλεται
τὸν Ἀδὰμ εἰσενέγκαι   πάλιν εἰς τὸν παράδεισον.

(15) —Ἆρα ὅπερ ἔδειξε   τῷ Μωϋσῇ ὁ δεσπότης
ξύλον ὃ ἐγλύκανε   ποτὲ τὸ ὕδωρ εἰς Μέρραν,
ἐδίδαξε τί ἦν   καὶ τίνος ἡ ῥίζα;
τότε οὐκ εἶπεν·   οὐ γὰρ ἤθελε·
νῦν δὲ τοῖς πᾶσι   τοῦτο ἐφανέρωσεν.
Ἰδοὺ γὰρ τὰ πάντα ἡδύνθη, ἡμεῖς δὲ   παρεπικράνθημεν·
ἐκ ῥίζης ἡμῶν   ἀνεβλάστησε σταυρὸς
ὃς ἐνεβλήθη τῇ γῇ   καὶ γλυκεῖα γέγονεν·
ἡ ἀνατείλασα   τὰς ἀκάνθας πρὶν
νῦν ὡς ἄμπελος Σωρὴχ   κλάδους ἐξέτεινε
μεταφυτευομένους   πάλιν εἰς τὸν παράδεισον.

(16) —Νῦν οὖν, Ἅιδη, στέναξον,   καὶ συμφωνῶ σοι τοῖς γόοις·
κλαύσωμεν θεώμενοι   ὃ ἐφυτεύσαμεν δένδρον
μεταβεβλημένον   εἰς ἅγιον πρέμνον,
οὗ ὑποκάτω   κατεσκήνωσαν
καὶ ἐπὶ κλάδοις   τούτου ἐννοσσεύουσι
λῃσταί, φονευταὶ καὶ τελῶναι καὶ πόρναι,   ἵνα τρυγήσωσι

καρπὸν γλυκασμοῦ ἀπὸ τοῦ δῆθεν ξηροῦ·
ὡς γὰρ φυτῷ τῆς ζωῆς τῷ σταυρῷ προσπλέκονται,
ἐπερειδόμενοι καὶ νηχόμενοι
ἐκπερῶσι δι᾽ αὐτοῦ καὶ προσορμίζονται,
ὡς εἰς εὔδιον κόλπον, πάλιν εἰς τὸν παράδεισον.

(17) —Ὄμοσον οὖν, τύραννε, λοιπὸν μηδένα σταυρῶσαι.
—Στῆσον καὶ σύ, Τάρταρε, βουλὴν μηδένα νεκρῶσαι·
ἐλάβομεν πεῖραν, συστείλωμεν χεῖραν·
γένηται ἡμῖν ὃ ὑπέστημεν
πρὸς ἐπιστήμην εἰς τὰ ἐπερχόμενα·
μηδεὶς ἐξ ἡμῶν τοῦ λοιποῦ τυραννήσῃ κατὰ τοῦ γένους Ἀδὰμ
ἐσφράγισται γὰρ τῷ σταυρῷ ὡς θησαυρὸς
ἔχων ἐν σκεύει φθαρτῷ μαργαρίτην ἄσυλον,
ὃν ἐπὶ τοῦ σταυροῦ ἀπεσύλησεν
εὐφυέστατος λῃστής· κλέψας καθήλωτο
καὶ λῃστεύσας ἐκλήθη πάλιν εἰς τὸν παράδεισον.»

(18) Ὕψιστε καὶ ἔνδοξε Θεὲ πατέρων καὶ νέων,
γέγονε τιμὴ ἡμῶν ἡ ἑκουσία σου ὕβρις·
ἐν γὰρ τῷ σταυρῷ σου καυχώμεθα πάντες·
τούτῳ τὰς φρένας προσηλώσωμεν,
ἵν᾽ ἐπὶ τούτῳ ὄργανα κρεμάσωμεν
καὶ ᾄσωμεν σοί, τῷ τῶν ὅλων κυρίῳ, ἐκ τῶν ᾠδῶν τῆς Σιών.
Ἡ ναῦς ἐκ Θαρσὶς ἀπεκόμιζέ ποτε
τῷ Σολομῶντι χρυσὸν ἐν καιρῷ, ὡς γέγραπται·
ἡμῖν τὸ ξύλον σου ἀποδίδωσι
καθ᾽ ἡμέραν καὶ καιρὸν πλοῦτον ἀτίμητον·
τοὺς γὰρ πάντας εἰσάγει πάλιν εἰς τὸν παράδεισον.